DANTE'S

PURGATORIO,

TRANSLATED INTO GREEK VERSE

BY

MUSURUS PASHA, D.C.L.

WILLIAMS AND NORGATE,
14, HENRIETTA STREET, COVENT GARDEN, LONDON;
AND 20, SOUTH FREDERICK STREET, EDINBURGH.
1884.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΤΥΠΟΙΣ
STEPHEN AUSTIN AND SONS,
HERTFORD.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΔΑΝΤΟΥ

ΤΟ

ΚΑΘΑΡΤΗΡΙΟΝ,

ΜΕΤΑΦΡΑΣΙΣ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΜΟΥΣΟΥΡΟΥ.

ΕΝ ΛΟΝΔΙΝΩ,

WILLIAMS AND NORGATE,

14, HENRIETTA STREET, COVENT GARDEN;

20, SOUTH FREDERICK STREET, EDINBURGH.

1884.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΒΙΒΛΙΟΘΗΚΗ
ΙΩΑΝΝΟΥ
ΚΑΛΙΤΣΟΥΝΑΚΗ

233984

ΠΡΟΛΟΓΟΣ.

Ἡ εὐμενὴς ὑποδοχή, ἧς ἔτυχεν ἡ ὑπ' ἐμοῦ ἐκπονηθεῖσα μετάφρασις τοῦ Ἅδου, πρώτου μέρους τῆς τριτεύχου ἐποποιΐας τοῦ Δάντου, θάῤῥος ἐνέβαλέ μοι τοῦ ἐπιχειρῆσαι καὶ τῇ τοῦ δευτέρου μέρους, τῇ τοῦ Καθαρτηρίου. Περάνας δ' ἀμηγέπῃ τὸ ἔργον, οὐκ ἀπέγνων τύποις ἐκδοῦναι, πεποιθώς, ὅτι τῆς αὐτῆς τεύξομαι ἐπιεικοῦς δεξιώσεως, ἅτε δὴ τηρήσας ἐν πᾶσι τοὺς αὐτοὺς κανόνας κατά τε τὸ φραστικὸν καὶ τὸ μέτρον καὶ τὴν ὅσον οἷόν τε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πιστὴν τοῦ πρωτοτύπου ἀπομίμησιν, ἅμα δὲ οὐκ ἀμελήσας προσθεῖναι τὰς ἀναγκαίας σημειώσεις, ὧν ἠρανισάμην τὰς πλείστας ἐκ τῶν αὐτῶν πηγῶν, πρὸς κατάληψιν τοῦ Ποιητοῦ ὅπου ἂν χρῄζῃ διασαφήσεων. Ἐν τέλει δὲ τῶν σημειώσεων παρήρτησα πλήρη ἔλεγχον τῶν εἰς τὴν μετάφρασιν τοῦ Ἅδου παρεισφρησάντων παροραμάτων, ἐν ᾧ μεταφράζονται σαφέστερον καὶ ἀκριβέστερον σπουδαῖά τινα τοῦ κειμένου χωρία.

Καὶ τοσαῦτα μὲν περὶ τῆσδε τῆς μεταφράσεως· θαῤῥῶν δὲ ἐπὶ τῇ φιλόφρονι ψήφῳ τῶν ὁμογενῶν ἀναγνωστῶν, οὓς ἤδη, προεξάρχοντος τοῦ ἐξόχου τῶν Ἰταλῶν ἀοιδοῦ, ηὐτύχησα ποδη-

γετήσας, τό γ' ἐπ' ἐμοί, εἰς τὴν κατάβασν τοῦ Ἅδου καὶ τὴν ἀνάβασιν τοῦ Καθαρτηρίου καὶ τὴν τοῦ Ἐπιγείου Παραδείσου περιωπήν, ἀποδέξομαι εὐγνωμόνως πᾶσαν ἐπίκρισιν συντείνουσαν εἰς τὴν βελτίωσιν καὶ τὸν ἀφαγνισμὸν τοῦ πονήματος· τότε γὰρ ἔσομαι, ἣν Θεὸς διδῷ,

"Ἁγνὸς ἑτοῖμος τ' ἀναβῆν' ἐπὶ τἆστρα." *

Ἐν Λονδίνῳ,

Νοεμβρίου μεσοῦντος, ᾳωπγ'.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΜΟΥΣΟΥΡΟΣ.

* "Puro e disposto a salire alle stelle."
(*Καθαρτ. Λ'*, 145).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΙΝΑΞ ΤΩΝ ΕΝ ΕΚΑΣΤΗι ΩΔΗι ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Σελ.

ΩΔΗ Α'.—Αἱ ἀκταὶ τοῦ Καθαρτηρίου ὄρους.—Οἱ τέσσαρες ἀστέρες τοῦ ἀνταρκτικοῦ πόλου.—Κάτων Ἰτύκης.—Ἡ ἐκ σχοίνων ζώνη 1

ΩΔΗ Β'.—Ὁ οὐράνιος Πορθμεύς.—Κασέλλας . 9

ΩΔΗ Γ'.—Οἱ πρόποδες τοῦ Ὄρους.—Οἱ ὑπὸ ἐπιτιμίοις ἐκκλησιαστικοῖς ἀποθανόντες.—Μαμφρέδης 16

ΩΔΗ Δ'.—Εἴσοδος εἰς τοὺς ἐκτὸς κύκλους τοῦ Καθαρτηρίου.—Οἱ νωθροί, οἱ βραδύναντες μετάνοιαν ἄχρι τῆς ἐσχάτης ὥρας.—Βελάκουας 24

ΩΔΗ Ε'.—Οἱ μετανοήσαντες ἐν καιρῷ βιαίου θανάτου.—Βογκόντης ἐκ Μόντος Φέλτρου.—Πία 32

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Σελ.

ΩΔΗ ΣΤ'.—Ἡ ἐνέργεια τῶν ὑπὲρ τῶν ἀποθανόντων δεήσεων.—Σορδέλλος . . 40

ΩΔΗ Ζ'.—Ἡ εὐανθὴς κοιλὰς τῶν Ἀνάκτων . 48

ΩΔΗ Η'.—Οἱ φύλακες Ἄγγελοι.—Ὁ Ὄφις.—Νῖνος ὁ Γαλλούρας.—Κορράδος Μαλασπίνης 55

ΩΔΗ Θ'.—Ὁ Ἀετός.—Λουκία.—Ἡ Πύλη τοῦ Καθαρτηρίου 63

ΩΔΗ Ι'.—Ὁ Πρῶτος Κύκλος.—Οἱ Ὑπερήφανοι.—Γεγλυμμένα Παραδείγματα Ταπεινοφροσύνης.—Ἡ Παρθένος Μαρία.—Δαυΐδ.—Τραϊανός . . . 71

ΩΔΗ ΙΑ'.—Τὸ Πάτερ ἡμῶν.—Οὐμβέρτος.—Ὀδερίσης ὁ Ἰγουϊέων.—Σαλβάνης Προβιζάνος 79

ΩΔΗ ΙΒ'.—Γεγλυμμένα Παραδείγματα Ὑπερηφανείας.—Ἑωσφόρος.—Νεμβρώδης.—Νιόβη, κφξ.—Ἀνάβασις εἰς τὸν Δεύτερον Κύκλον 87

ΩΔΗ ΙΓ'.—Ὁ Δεύτερος Κύκλος.—Οἱ Φθονεροί.—Σοφία ἡ Σηναία . . . 95

ΩΔΗ ΙΔ'.—Γουΐδος Δούκας.—Ῥενιέρης ὁ Καλβόλων.—Αἱ πατριαὶ τῆς Ῥωμανίας . 103

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Σελ.

ΩΔΗ ΙΕ'.—Ὁ Τρίτος Κύκλος.—Οἱ ὀργίλοι.—Παραδείγματα Μακροθυμίας.—Ἡ Παρθένος Μαρία.—Πεισίστρατος.—Ἅγιος Στέφανος 111

ΩΔΗ ΙΣΤ'.—Μάρκος Λογγοβάρδος.—Κοσμικὴ καὶ Πνευματικὴ ἐξουσία τῆς Ῥώμης . 119

ΩΔΗ ΙΖ'.—Παραδείγματα Ὀργῆς.—Ὁ Τέταρτος Κύκλος.—Οἱ Ῥάθυμοι . . 127

ΩΔΗ ΙΗ'.—Λόγος Βιργιλίου περὶ Ἔρωτος καὶ ἐλευθέρας Θελήσεως.—Ὁ Ἀββᾶς τοῦ Ἁγίου Ζήνωνος . . . 135

ΩΔΗ ΙΘ'.—Τὸ Ἐνύπνιον τῆς Σειρῆνος.—Ὁ Πέμπτος Κύκλος.—Οἱ Φιλάργυροι καὶ Ἄσωτοι.—Ὁ Πάπας Ἀδριανὸς ὁ Ε' . 143

ΩΔΗ Κ'.—Οὔγων Καπέτος.—Ὁ Σεισμός . 151

ΩΔΗ ΚΑ'.—Στάτιος.—Ὁ Βιργίλιος ἀναγνωρίζεται τῷ Στατίῳ 159

ΩΔΗ ΚΒ'.—Ὁ Ἕκτος Κύκλος.—Οἱ Λαίμαργοι.—Τὸ Καλλίκαρπον Δένδρον . . 167

ΩΔΗ ΚΓ'.—Φορέσης 175

ΩΔΗ ΚΔ'.—Βοναϊούγκτας Λουκαῖος.—Ὁ Πάπας Μαρτῖνος Δ'.—Θάνατος Κόρσου Δωνάτου.—Ἕτερον δένδρον . . . 182

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΕΡΙΕΧΟΜΕΝΑ.

Σελ.

ΩΔΗ ΚΕ'.—Λόγος Στατίου περὶ Γεννήσεως.—Ὁ Ἕβδομος Κύκλος.—Οἱ Λάγνοι . 190

ΩΔΗ ΚΣΤ'.—Γουΐδος Γουϊνικέλλης.—Ἀρνάλδος Δανιῆλος 198

ΩΔΗ ΚΖ'.—Ἡ διὰ φλογῶν διάβασις.—Ἡ κατ' ὄναρ ἐμφάνισις τῆς Λείας.—Ἄφιξις εἰς τὸν Ἐπίγειον Παράδεισον . . 206

ΩΔΗ ΚΗ'.—Ὁ Ἐπίγειος Παράδεισος.—Ὁ Ποταμὸς Λήθη.—Ματίλδα . . . 214

ΩΔΗ ΚΘ'.—Αἱ Ἑπτὰ Λυχνίαι.—Οἱ Εἰκοσιτέσσαρες Πρεσβύται.—Τὸ Θριαμβικὸν Ἅρμα, ἢ ὁ Θρίαμβος τῆς Ἐκκλησίας . 222

ΩΔΗ Λ'.—Βεάτριξ 230

ΩΔΗ ΛΑ'.—Ἐπιπλήξεις Βεάτρικος καὶ Ὁμολογία Δάντου.—Ἡ Διάβασις τῆς Λήθης.—Αἱ Ἠθικαὶ καὶ αἱ Θεολογικαὶ Ἀρεταί . 238

ΩΔΗ ΛΒ'.—Τὸ Ξύλον τῆς Γνώσεως.—Ἡ Ἀνάβασις τοῦ Γρυπός.—Αἱ Μεταμορφώσεις τοῦ Ἅρματος. 246

ΩΔΗ ΛΓ'.—Ὁ Ποταμὸς Εὐνόη. . . . 255

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΑΡΟΡΑΜΑΤΩΝ ΔΙΟΡΘΩΣΙΣ.

Ἐν ταῖς Ὠδαῖς.

Ὠδ.	Στίχ.	ἀντί.	γραπτέον.
Α',	119.	τρῖβου	τρίβου
Γ',	105.	ἐἴπού μέ ποτ'	εἴ πού μέ ποτ'
Δ',	7.	ὅταν γὰρ,	ὅταν γὰρ
	17.	ὡς	ἔνθ'
	79.	το	τὸ
Ε',	49.	εἴποτ'	εἴ ποτ'
	116.	Πρατομάγου	Πρατομάγνου
Ζ',	6.	Ὀκαυΐου	Ὀκταυΐου
	12.	Ἀρ' ἔστιν; ἀρ' οὐκ ἔστιν;	Ἄρ' ἔστιν; ἆρ' οὐκ ἔστιν;
Η',	70.	ἧς	ἧς
Θ',	58.	Σαρδέλλος	Σορδέλλος
Ι',	128.	ἐστὶ	ἐστὲ
ΙΑ',	135.	αἰδὼ	αἰδῶ
ΙΒ',	42.	Οὐδ' ὑετὸν ἔπειτ' οὐκ αἰσθομένῳ.	Ὑετόν τε μετέπειτ' οὐκ αἰσθομένῳ.
	72.	μὴ βλέπειν	μὴ βλέπειν.
ΙΓ',	32.	ἄλλητις	ἄλλη τις
ΙΔ',	17.	Φαληρίᾳ	Φαλερίᾳ
	140.	συσφιχθῶ	συσφιγχθῶ
ΙΕ',	79.	ἐξιασθῶσιν	ἐξιαθῶσιν
ΚΑ',	51.	κάτω	κάτω.
	116.	Τοῦ μὲν σιγᾷν,	Τοῦ μὲν σιγᾷν με,
ΚΒ',	36.	χίλιαι	μυρίαι
	70.	τάξις·	τάξις·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ὠδ.	Στίχ.	ἀντί.	γραπτέον.
ΚΔ',	74.	ἐρχόμενος σύν μοι κατόπιν,	κατόπισθεν μετ' ἐμοῦ βαίνων,
	102.	νοὺς	νοῦς
ΚΕ',	125.	ἐμοῦτε	ἐμοῦ τε
ΚΖ',	10.	"Οὐδεὶς πρόσω	"Οὐδεὶς βαίνει πρόσω
	65.	τοιόδ'	τοιόνδ'
ΚΗ',	89.	τοῦθ,	τοῦθ',
ΚΘ',	11.	Σύναμ,	Σύναμ',
	95.	τ' Αργου	τ' Αργου
	98.	'Αναγνῶστ,	'Αναγνῶστ',
Λ',	82.	ἐστώπησεν·	ἐσιώπησεν·
ΛΑ',	8.	ἠφωνή μου	ἡ φωνή μου.
ΛΒ',	20.	συμπτήσσεται	συμπτύσσεται
	102.	Χρηστὸς	Χριστὸς
ΛΓ',	18.	ὄμματά μου	ὄμματά μου.

'Εν ταῖς Σημειώσεσι.

Σελ.	στίχ.	ἀντί.	γραπτέον.
272,	19.	ἐν ῳ,	ἐν ῷ,
299,	3.	τῆν Γαλλικῆς	τῆς Γαλλικῆς
306,	26.	αι	αἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΔΑΝΤΟΥ

ΤΟ

ΚΑΘΑΡΤΗΡΙΟΝ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ Α΄.

Αἱ ἀκταὶ τοῦ Καθαρτηρίου ὄρους.—Οἱ τέσσαρες ἀστέρες τοῦ ἀνταρκτικοῦ πόλου.—Κάτων Ἰτύκης.—Ἡ ἐκ σχοίνων ζώνη.

Πρὸς πλοῦν ὑδάτων βελτιόνων ἱστία
Νῦν τοὐμὸν ἔνθουν ἐκπετάννυσι σκάφος,
Θάλασσαν οἰκτρὰν καταλιπὸν ὀπίσω.
Καὶ τὸ δεύτερον ᾄσομαι κεῖνο κράτος,
Ἔνθ᾽ ἀνθρώπινον ἐκκαθαίρεται πνεῦμα,
Ἀξιούμενον οὐρανίας ἀνόδου.
Ἀλλ᾽ ὧδ᾽ ἡ νεκρὰ ποίησις ἀναστήτω,
Ὑμῶν γὰρ εἴμ᾽, ὦ θεῖαι Μοῦσαι, θεράπων·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ὧδέ τ' ἐγείρου μικρόν τι, Καλλιόπη,
10 Διέπουσα τὴν ἐμὴν ᾠδὴν δι' ἤχων,
Ὧν ᾔσθοντο τὴν βολὴν τάλαιναι Κίσσαι
Οὕτως, ὥστε μὴ συγγνώμης ἐλπίδ' ἔχειν.
Θέα γλυκεῖα χρώματος σαπφειρίνου,
Ἐν τῇ γαλήνῃ τοῦ διαυγοῦς αἰθέρος
15 Ἐπιφανεῖσα μέχρι τοῦ πρώτου κύκλου,
Ἤρξατ' αὖθις ἡδύνειν τὰς ἐμὰς ὄψεις,
Ἅμ' ἐξελθόντος τοῦ νεκρικοῦ κευθμῶνος,
Τοῦ κακώσαντος ὄμματά μου καὶ στῆθος.
Ὁ τῶν ἐρώτων περικαλλὴς πλανήτης
20 Διαγελᾷν ἐποίει τὴν ἕω πᾶσαν,
Τοὺς παραπομποὺς ἀποσβεννὺς Ἰχθύας.
Ἐπὶ δεξιὰ καὶ πρὸς τὸν ἄλλον πόλον
Τείνας τὰς ὄψεις, εἶδον τετράδ' ἀστέρων,
Οὓς πλὴν τῶν πρωτοπλάστων οὐδείς ποτ' εἶδεν.
25 Οὐρανὸς ἐτέρπετο τῇ τούτων λάμψει.
Ὤ, πόσον ἐλεῶ σε, βόρειε κόσμε,
Ἄμοιρον τυγχάνοντα τοιαύτης θέας!
Ἐπεὶ δ' ἀπ' αὐτῶν ἀποκλίνας τὸ βλέμμα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Μικρὸν πρὸς τὸν ἕτερον ἐστράφην πόλον,
30 Ἔνθ' οὐκ ἦν τὴν Ἄμαξαν καθορᾷν ἔτι,
Εἶδον ἐγγύς μου γηραιόν τινα μόνον,
Οὕτως ἄξιον αἰδοῦς ὄντα τὴν θέαν,
Ὥστε μὴ παῖδα πατρὶ μείζον' ὀφείλειν.
Πώγωνα μακρὸν μιξόλευκον τὴν τρίχα
35 Ἔφερ' ὅμοιον τῷ χρώματι τῆς κόμης,
Διττοῖς πλοκάμοις εἰς τὸ στῆθος πιπτούσης.
Αἱ τῶν τεσσάρων θείων φώτων ἀκτῖνες
Τοσοῦτο κατηύγαζον αὐτοῦ τὴν ὄψιν,
Ὥσθ' ὡς ἥλιος ἐδόκει βλέποντί μοι.
40 "Τίνες ἔσθ' ὑμεῖς, οἱ διὰ τυφλοῦ ῥείθρου
,,Τὴν αἰώνιον εἱρκτὴν διαφυγόντες;"
Ἔκραξε κινῶν τὴν σεμνὴν γενειάδα.
"Τίς ὡδήγησεν, ἢ τίς φωταγωγήσας
,,Ἐξήγαγ' ὑμᾶς ἐκ τοῦ βαθέος ζόφου
45 ,,Τὴν ὑπόχθονα μελαίνοντος κοιλάδα;
,,Μῶν ἐῤῥάγησαν οἱ τῆς ἀβύσσου νόμοι;
,,Ἢ γέγον' ἐν Οὐρανοῖς βουλή τις νέα,
,,Ὥστ' ἀλάστορας ἔρχεσθ' εἰς ἐμὰς τρώγλας;"

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Οὑμὸς δ' Ἡγήτωρ ἐλάβετό μου τότε,
50 Καὶ διὰ λόγων καὶ χειρῶν καὶ νευμάτων
Αἰδοῖ κλίνειν μ' ἐποίει γόνυ καὶ βλέμμα.
Εἶτ' ἀπεκρίνατ'· "Αὐτοθελὴς οὐκ ἦλθον·
„Ἐμὲ Δέσποινα καταβᾶσ' οὐρανόθεν
„Ὁδηγήσοντ' ἔπεμψε τὸν ἄνδρα τοῦτον.
55 „Ἀλλ' ἐπεὶ σὴ θέλησίς ἐστι τὸ γνῶναι,
„Οἵα τις ὄντως ἐστὶν ἡμῶν ἡ μοῖρα,
„Οὐχ ἡ 'μὴ τῇ σῇ θέλησις ἀντιβαίνει.
„Οὔποτ' εἶδ' οὗτος τὴν ἐσχάτην ἑσπέραν·
„Ἀλλ' ἐξ ἀνοίας ἐγγὺς αὐτῆς ἦν οὕτως,
60 „Ὥστ' ὀλίγιστον πρὸς τροπὴν καιρὸν εἶχε.
„Καὶ δὴ πρὸς αὐτόν, καθὼς εἶπον, ἐπέμφθην
„Ἀπολυτρώσων· οὐ γὰρ ἦν ὁδὸς ἄλλη
„Πλὴν ταύτης, δι' ἣν ἤμην ἀπεσταλμένος.
„Αὐτῷ πᾶν τἀνόσιον ἔδειξα γένος,
65 „Καὶ νῦν δεῖξαι βούλομαι τὰς ψυχὰς κείνας
„Τὰς ὑπὸ τὸ σὸν κράτος καθαιρομένας.
„Ὡς αὐτὸν ἐξήγαγον μακρὸν τὸ λέγειν.
„Ἰσχὺς ὑψόθεν κατελθοῦσά μ' ἐπείγει

„Ὁδηγεῖν αὐτόν, ἵν' ἴδῃ σε κἀκούσῃ·
„Εὔνους οὖν αὐτὸν προσελθόντα σοι δέχου.
„Ἐλευθερίαν ζητεῖ τὴν λίαν φίλην,
„Ὡς πᾶς οἶδ' ὃς δι' αὐτὴν τὸ ζῆν ἀρνεῖται.
„Τοῦτ' οἶδας· οὐ γὰρ πικρὸν τὸ θανεῖν ἦν σοι,
„Ὅτ' ἐν Ἰτύκῃ τὴν σὴν ἐσθῆτ' ἐξέδυς,
„Ἣν ἕξεις λαμπρὰν ἐν Κρίσεως ἡμέρᾳ.
„Τῶν θείων νόμων οὐκ ἐσμὲν παραβάται·
„Ζῶν γὰρ ἔσθ' οὗτος· Μίνως δ' ἔμ' οὐ δεσμεύει,
„Ἀλλ' εἴμ' ἐν ταὐτῷ κύκλῳ τῇ σῇ Μαρκίᾳ,
„Ὄμμασιν ἀγνοῖς παρακαλούσῃ σ' ἔτι,
„Ὦ σεμνὸν στῆθος, αὐτὴν σαυτοῦ νομίζειν.
„Ἕνεκεν αὐτῆς ἵλεως ἡμῖν ἔσο.
„Ἄφες ἡμᾶς διελθεῖν ἑπτά σου κύκλους.
„Χάριτας αὐτῇ παρὰ σοῦ προσκομίσω,
„Εἰ κάτω 'κεῖ σε μνημονεύεσθαι βούλει."—
"Οὕτως ἡδεῖ' ἦν ὄμμασί μου Μαρκία,
„Ἐφ' ὅσον ἔζων ἐκεῖ," τότ εἶπ' ἐκεῖνος,
"Ωστε χάριτας, ὅσας ἤθελ', ἐποίουν.
„Νῦν δ' ὅτε πέραν τοῦ δεινοῦ ῥείθρου μένει,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Αὐτῆς πέρι μεριμνᾷν οὔ μ' ἐπιτρέπει
90 „Ὁ τεθεὶς νόμος ὅτ' ἐξῆλθον ἐκεῖθεν.
„Ἀλλ' εἰ Δέσποινα παρορμᾷ σ' οὐρανόθεν,
„Καθά μοι λέγεις, δεήσεων οὐ χρῄζεις·
„Ἀρκεῖ σοι μόνον τὸ παρ' αὐτῆς αἰτεῖν με.
„Πορεύου τοίνυν, καὶ περίζωσον τοῦτον
95 „Σχοίνῳ καθαρῷ καὶ τὸ πρόσωπον νίψον,
„Ὅπως ἐκπλύνῃς ἀπ' αὐτοῦ πάντα ῥύπον·
„Οὐ πρέπει γὰρ ὀφθαλμῷ κατειλημμένῳ
„Ἀχλύσιν ἐλθεῖν ἐνώπιον τοῦ πρώτου
„Τῶν ἐν τῷ Παραδείσῳ συλλειτουργούντων.
100 „Ἡ νῆσος ἥδε πέριξ τῶν κατωτάτων
„Ἀκτῶν, ἔνθ' αὐτὴν περικρούει τὸ κῦμα,
„Σχοίνους ἐπὶ τῆς ἁβρᾶς ἰλύος φέρει.
„Οὐδὲν γὰρ φυτόν ποτ' ἄλλο φυλλοφόρον
„Οὐδ' ὑπόσκληρον δύνατ' ἐκεῖ βιῶναι,
105 „Ὡς οὐχ ὑπεῖκον τῷ σάλῳ τῶν κυμάτων.
„Ἀλλ' εἶτ' οὐκ ἐπανήξεις δι' ὁδοῦ τῆς δε.
„Ἥλιος ὁ νῦν ἀνατέλλων σοι δείξει,
„Πόθεν τὴν ὄρους ἄνοδον ῥᾴον' ἕξεις."

Τότ' ἐγένετ' ἀφανής. Ἐγὼ δ' ἀνέστην
110 Σιγῇ, καὶ προσπελάσας Ἡγήτορί μου
Πᾶς, πρὸς αὐτὸν ἔτεινα τὰς ἐμὰς ὄψεις.
Ὁ δ' εἶπε· "Τέκνον, ἕπου τοῖς βήμασί μου.
,,Στραφῶμεν ὄπισθ'· ἡ γὰρ πεδιὰς αὕτη
,,Ἐντεῦθεν κλίνει πρὸς τὰς κατωφερείας."
115 Ἠὼς δὴ τὴν πρωϊνὴν σκιὰν ἐσόβει,
Διασκεδαννῦσ' αὐτήν, ὥστε μακρόθεν
Τὴν θαλάσσιον μαρμαρυγὴν διεῖδον.
Ἐπορευόμεθ' ἐπ' ἐδάφους ἐρήμου,
Ὡς τις ἐκστὰς τῆς τρίβου δοκεῖ βαδίζειν
120 Μάτην, ἕως ἂν μοχθῶν αὐτὴν ἀνεύρῃ.
Ἀλλ' ὅτ' ἤλθομεν ἔνθ' ἡ δρόσος ἡλίῳ
Ἀντιπαλαίει, καὶ κειμένη πρὸς μέρος
Ἐσκιασμένον, διατήκεται μόλις,
Ἄμφω τάς χεῖρας ἐπὶ τῆς πόας τείνας
125 Ἔθετο μειλιχίως οὑμὸς Προστάτης.
Ἐγὼ δ' αὐτοῦ τὸν σκοπὸν κατανοήσας
Τὰς ἐνδάκρυς παρειὰς αὐτῷ παρέσχον·
Ὁ δ' ἀνήγαγεν εἰς φῶς τὴν χροιὰν πᾶσαν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τὴν ὑπ' ἀσβόλου καλυφθεῖσαν ἐν Ἅδου.
130 Εἶτ' ἐπὶ τὴν ἔρημον ἤλθομεν ὄχθην,
Ἐφ' ἧς ὑδάτων οὔποτε πλέειν εἶδεν
Ἄνθρωπος πεῖραν ἐσχηκὼς ἐπανόδου.
Ἐκεῖ με περιέζωσ', ὡς ἔδοξ' ἄλλῳ·
Ὦ τοῦ θαύματος! ὅ, τι συνέλεξ' ἅπαξ
135 Χαμηλὸν φυτὸν ἀνεγεννᾶτο πάλιν
Αἴφνης ἐπὶ τοῦ μέρους, ὅθεν ἐξεῖλεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ Β'.

Ὁ οὐράνιος Πορθμεύς.—Κασέλλας.

Ἥλιος ἐφ' ὁρίζοντ' ἀνέτελλ' ἤδη,
Ὅθεν ὁ μεσημβρινὸς κύκλος ἐκ μέσης
Κορυφῆς κυρτοῦτ' ἐφ' Ἱεροσολύμων.
Πρὸς αὐτὸν δ' ἡ νὺξ ἀντίον στρεφομένη
5 Ἐκτὸς τοῦ Γάγγου σὺν τοῖς Ζυγοῖς ἐξῄει,
Πίπτουσιν ἐκ τῆς χειρὸς αὐτῆς αὐξούσης·
Ὥστε τὰς λευκὰς παρειὰς καὶ ῥοδόχρους
Τῆς καλῆς Ἠοῦς ἔβλεπον ἔνθ' ἱστάμην
Παρακμαζούσας ἤδη καὶ κροκιζούσας.
10 Ἡμεῖς ἔτ' ἦμεν παρ' ἀκτὴν τῆς θαλάσσης,
Ὡς ἄνθρωπος, ὃς ὁδοιπορεῖν ἐθέλων
Τῷ νῷ βαδίζει, τῷ δὲ σώματι μένει.
Ἀλλ' ἰδού, καθὼς περὶ πρωΐαν ὥραν
Ὑπερυθριᾷ δι' ἀτμῶν πυκνῶν Ἄρης

15 Κάτω πρὸς δυσμὰς ἐπὶ νῶτα θαλάσσης,
Τοιόνδ' εἶδον φῶς, εἴθ' ἴδοιμ' αὐτὸ πάλιν,
Οὕτω τάχους προβαῖνον διαποντίως,
Ὥστ' οὐκ ἔστι κίνησις πτηνῶν ὁμοία.
Τοῦ φωτὸς δ' ἀποκλίνας μικρὸν τὸ βλέμμα,
20 Ἵνα τὸν ἐμὸν Ἡγήτορ' ἐρωτήσω,
Τοῦτ' αὖθις εἶδον λαμπρότερον καὶ μεῖζον,
Εἶτα δ' ἐκ τούτου τῶν πλευρῶν ἑκατέρας
Ὁρᾷν ἐδόκουν λευκόν τι, κάτωθέν τε
Ἕτερον λευκὸν ἐξερχόμενον βάδην.
25 Προστάτης δ' ἐμὸς οὐδὲν εἶπέ μοι μέχρι
Τὰ πρῶτα λευκὰ πτέρυγας εἶδον ὄντα.
Καὶ τότε τὸν Πορθμέα σαφῶς γνωρίσας,
Ἔκραξε· "Κλῖνον, κλῖνον τὸ γόνυ τάχος.
,,Ἄγγελος ἰδοὺ Θεοῦ· σύμπλεξον χεῖρας.
30 ,,Νῦν οὕτω πεφυκότας λειτουργοὺς ὄψει.
,,Βλέπε πῶς ἀπαξιοῖ τέχνας ἀνθρώπων,
,,Οὐ χρῄζων κώπης, ἀλλ' οὔτ' ἄλλων ἱστίων,
,,Ἐν οὕτω μακραῖς ἀκταῖς, πλὴν τῶν πτερύγων.
,,Βλέπε πῶς αὐτὰς πρὸς οὐρανὸν ἐπαίρει,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

35 „Τὸν ἀέρα πατάσσων πτεροῖς ἀφθίτοις,
„Οὔποτ' ἀπορρέουσιν ὡς θνητὰ πτίλα."
Εἶτα δ' ὡς ἐγγύτερον ἡμῶν προσῄει
Τὸ θεῖον πτηνὸν λαμπρότερον ἦν οὕτως,
Ὥστ' οὐκ ἀντεῖχον τοῖς ὄμμασι τὴν αἴγλην,
40 Ἀλλ' ἔνευσα πρὸς τὴν γῆν· ὁ δ' εἰς τὴν ὄχθην
Ἦλθ' ἐπ' ἀκάτου γλαφυρᾶς ἐλαφρᾶς τε,
Ἀβυθίστως ὁρμώσης ἐπὶ κυμάτων.
Ἐπὶ πρύμνης ὁ θεῖος ἵστατο ναύτης,
Τὴν εὐμοιρίαν δοκῶν ἔγγραπτον φέρειν·
45 Πλείω δ' ἑκατὸν πνεύματ' ἐκάθητ' ἔνδον.
"'Εν ἐξόδοις Ἰσραὴλ ἐκ τῆς Αἰγύπτου!"
Ἔψαλλον μιᾷ φωνῇ σύναμα πάντες,
Τὰ λοιπά τ' ἐπῴδια τοῦ ψαλμοῦ τούτου.
Εἶτ' ἐποίησε τὸ τοῦ Σταυροῦ σημεῖον·
50 Αὐτῶν δὲ πάντων εἰς τὴν γῆν ἀποβάντων,
Ἐκεῖθεν ᾤχετ' ὠκυπέτης, ὡς ἦλθεν.
Ἡ δὲ μείνασα πληθὺς καθόλου ξένη
Ἐφαίνετο τοῦ τόπου, βλέπουσα πέριξ,
Ὥσπερ ὅστις καθορᾷ πράγματα νέα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

55 Πάντοθεν τὸ φῶς ἠκόντιζεν ἡμέρας
Ἥλιος λαμπροῖς βέλεσιν ἐκ τοῦ μέσου
Οὐρανῶν Αἰγόκερων ἀποδιώξας,
Ὅτε τὸ νέον πλῆθος ἆραν τὰς ὄψεις
Πρὸς ἡμᾶς εἶπεν· "Ἡμῖν, εἴ γ' ὑμεῖς ἴστε,
60 ,,Δείξατε τὴν ἄγουσαν πρὸς τοῦρος τρίβον."
Προστάτης δ' ἐμὸς ἀπεκρίθη· "Φρονεῖτε
,,Ἴσως ἡμᾶς ἐμπείρους τοῦ τόπου τούτου·
,,Ἀλλ' ἡμεῖς ἐσμέν, ὡς ὑμεῖς, ὁδοιπόροι.
,,Ἄρτι πρὶν ὑμῶν ἀφίγμεθα μικρόν τι
65 ,,Δι' ἄλλης ὁδοῦ δεινῆς, τραχείας οὕτως,
,,Ὥσθ' ἡμῖν παῖγμα πᾶσ' ἄνοδος ἔστ' ἄλλη."
Ἐπεὶ δ' αἱ ψυχαὶ τηνικαῦτ' ᾔσθοντό με
Ἐκ τῆς ἀναπνεύσεως ὄντ' ἔτι ζῶντα,
Ὑπὸ θαυμασμοῦ κατωχρίασαν πᾶσαι.
70 Ὡς δ' ἐξάγγελος, κλάδον ἐλαίας φέρων,
Ἐφέλκετ' ὄχλον νέα μαθεῖν ὁρμῶντα,
Οὐδενὸς δεικνυμένου νωθροῦ πρὸς τοῦτο,
Οὕτως ἀπαξάπασαι πρός με προσῆλθον
Αἱ μακάριαι ψυχαί, σχεδὸν ἐν λήθῃ

Τὴν πρὸς τὸν ἀφαγνισμὸν ὁδὸν τιθεῖσαι.
Εἶδον ἐξ αὐτῶν τινα πρός με χωροῦσαν,
Ἵν' οὕτω περιπαθῶς ἀσπάσηταί με,
Ὥστ' αὐτὴν κἀγὼ μιμήσασθαι προήχθην.
Ὦ σκιαὶ διάκενοι, πλὴν θέας μόνης!
Τρὶς πέριξ αὐτῆς περιέπτυξα χεῖρας,
Καὶ τρὶς κενὰς συνέπτυξ' ἐπὶ τοῦ στήθους·
Ἐκ τοῦ θαύματος ἐχρωματίσθην, οἶμαι·
Ἡ γὰρ σκιὰ μειδιῶσ' ὑπανεχώρει·
Ἐμοῦ δὲ προβαίνοντος αὐτῆς κατόπιν,
Εἶπέ μοι μειλιχίᾳ τῇ φωνῇ στῆναι.
Τότ' ἔγνων τίς ἦν, καὶ παρεκάλουν ἵνα
Μείνασα μικρόν τί μοι συνομιλήσῃ.
Ἡ δ' ἀπεκρίθη· "Καθώς σέ ποτ' ἐφίλουν
„Οὖσ' ἐν σώματι, νῦν ἄσωμος φιλῶ σε.
„Διὸ καὶ μένω· πλὴν σὺ πρὸς τί βαδίζεις;"—
"Ὦ Κασέλλα μου, πρὸς ἐπάνοδον πάλιν
„Ἐνθ' εἰμι, τήνδε τὴν πορείαν ποιοῦμαι,"
Εἶπον· "σὺ δὲ πῶς οὕτω βραδέως ἦλθες;"
Πρὸς ἐμὲ δ' αὐτός· "Οὐδαμῶς ἠδικήθην,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

95 „Εἰ γ' ὁ συλλέγων ὅταν χῶντινα θέλῃ
„Πολλάκις μ' ηὐνήσατο διαβιβάσαι·
„Ἐξεπλήρου γὰρ οὕτω βουλὴν δικαίαν.
„Ἀλλὰ πρὸ τριῶν μηνῶν παρέλαβ' οὗτος
„Τὸν βουλόμενον ἐπιβῆν' ἐν εἰρήνῃ·
100 „Ὅθεν κείμενον παρ' ἀκτὴν τῆς θαλάσσης,
„Ἔνθ' ὕδατα Θύμβριδος ὑφαλμυρίζει,
„Μετ' εὐμενείας συνεκομίσατό με.
„Τὴν πτέρυγ' εἰς στόμιον εὐθύνει κεῖνο·
„Ἀεὶ γὰρ ἐκεῖ πάντας ἀποβιβάζει
105 „Τοὺς εἰς τὸν Ἀχέροντα μὴ πεμπομένους."—
"Εἰ μή σου νόμος νέος," εἶπον, "ἀφεῖλε
„Μνήμην ἢ χρῆσιν ἐρωτικῶν ᾀσμάτων,
„Οἷς κατευνάζειν εἰώθεις τἀμὰ πάθη,
„Ἄγε, πρὸς χάριν, μικρὸν παραμυθοῦ μοι
110 „Τὴν ψυχήν, ἥτις σὺν τῷ σώματι τούτῳ
„Ἐλθοῦσ' ὧδ' ἐστὶν ὅλως βεβαρυμένη."
"Ἔρως, ὃς ἐν ταῖς φρεσὶ συνομιλεῖ μοι,"
Τότ' αὐτὸς ἤρξατ' ᾄδειν οὕτως ἡδέως,
Ὥστ' ἔνδον ἔτι τὴν ἡδονὴν ἠχεῖν μοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

115 Οὑμὸς Προστάτης κἀγὼ πληθύς τε πᾶσα
Σὺν ἡμῖν ἐδοκοῦμεν θυμηδεῖν οὕτως,
Ὥστε τὸν νοῦν προσέχειν πρὸς μηδὲν ἄλλο.
Ἐβαδίζομεν βραδεῖς κἀτενεῖς πάντες
Πρὸς τὸ μέλος, ὅτ' αἴφνης ὁ σεμνὸς γέρων
120 Ἔκραξε· "Τί τοῦτ' ἐστί, ψυχαὶ βραδεῖαι;
„Τίς ἀμέλεια, τίς τ' ἐπίσχεσις ἥδε;
„Δράμετ' εἰς τοῦρος ἐκδυσόμεναι λέπη
„Τὰ τὴν θεοῦ κωλύοντ' ἐνορᾷν ὄψιν."
Ὡς δ' ὅτε περιστεραί, σῖτον εἴτ' αἶραν
125 Κολάπτουσαι συνέρχοντ' ἐπὶ λειμῶνος
Ἥσυχοι κἄνευ χάριτος τῆς συνήθους,
Ἂν δ' αὐταῖς ἐπιστῇ τι πρόξενον φόβου,
Ἐξαπίνης τὴν νομὴν ἐῶσι χαίρειν,
Μείζονος αὐταῖς ἐπελθούσης μερίμνης·
130 Οὕτως εἶδον τἀποβὰν νεωστὶ πλῆθος
Ἐῶν τὸ μέλος καὶ πρὸς τὴν ὄχθην φεῦγον,
Ὡς ὁ βαδίζων, ἀλλ' ἀγνοῶν τὸν δρόμον·
Οὐδ' ἡμεῖς ἀπήλθομεν ἧττον ταχέως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ Γ'.

Οἱ πρόποδες τοῦ Ὄρους.—Οἱ ὑπὸ ἐπιτιμίοις ἐκκλησιαστικοῖς ἀποθανόντες.—Μαμφρέδης.

Τῆς αἰφνιδίου φυγῆς ἐκσκεδασάσης
Τὰς ψυχὰς ἀνὰ μέσον τῆς πεδιάδος,
Πρὸς τὸ καθαρτήριον τραπείσας Ὄρος,
Ἐγὼ τῷ πιστῷ προσῆλθον Συνοδίτῃ·
Αὐτοῦ γὰρ ἄνευ πῶς ἂν ἐπορευόμην;
Τίς τέ μ' ἂν ὡδήγησεν ἄνω πρὸς τοῦρος;
Ἐδόκει δ' ἔχειν ἔλεγχον συνειδότος·
Ὦ συνείδησις ἀκραιφνὴς καὶ γενναία,
Πόσον πικρῶς θλίβει σε πάνσμικρον σφάλμα;
Ὡς δ' ἐπαύσατο κινῶν τοὺς πόδας τάχει,
Τῷ μεθιέντι τὸ κόσμιον ἐν πᾶσιν,
Ὁ πρὶν συνεσταλμένος ὑπάρχων νοῦς μου
Ἔτεινε πρὸς τὸν σκοπόν, ὃν εἶχ' ἐν πόθῳ.
Καὶ δὴ τὰς ὄψεις ἔτρεψα πρὸς τὸν λόφον,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

15 Ὃς ἐκ θαλάσσης ἀνυψοῦτ' οὐρανόσε.
Ὁ δ' ἥλιος ὄπισθεν ἐρυθρὸς λάμπων
Τὴν ἐμὴν μορφὴν διέγραφ' ἔμπροσθέν μου,
Τὰς ἀκτῖνας προβάλλων ἐπ' ἐμῶν νώτων,
Βλέμμα τ' ἔτρεψα πέριξ, δεδιὼς εἶναι
20 Ἐγκαταλελειμμένος, ὁπότε μόνον
Κατεῖδον ἔμπροσθέν μου τὴν γῆν σκιώδη.
Προστάτης δ' ἐμός· "Πρὸς τί δυσπιστεῖς ἔτι;"
Ἤρξατο λέγειν, πρὸς ἐμὲ τραπεὶς ὅλως·
"Οὐ φρονεῖς μ' εἶναι σὺν σοὶ καθοδηγοῦντα;
25 ,,Ἤδη νύξ ἐστιν ἔνθ' ἐτάφη τὸ σῶμα,
,,Ἐν ᾧ σκιὰν ἐποίουν· τοῦτο κατέχει
,,Νῦν Νεάπολις, λαβοῦσ' ἐκ Βρεντεσίου.
,,Εἰ δέ γε μηδὲν σκιάζετ' ἔμπροσθέν μου,
,,Θαυμάζειν σ' οὐ δεῖ πλέον ἢ πῶς ἀκτῖνας
30 ,,Οὐκ ἐπιπροσθεῖ τῶν οὐρανῶν εἷς ἄλλου.
,,Ὑποστῆναι βασάνους, θάλπος καὶ ψῦχος
,,Διατίθησι σώματ' ἄττα τὸ θεῖον,
,,Ἡμῖν ὅπως ἐνεργεῖ δηλοῦν οὐ θέλον.
,,Ἄφρων ὁ φρονῶν τὴν ἀνθρώπινον φρένα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

35 „Δυνατὴν γνῶναι διεξόδους ἀπείρους
„Τῆς ἐν τρισὶ προσώποις μιᾶς Οὐσίας.
„Γένος ἀνθρώπων, ἀρκεῖ σοι τὸ Διότι·
„Εἰ γὰρ ἐδύνω συνιέναι τὰ πάντα,
„Οὐκ ἦν ἀνάγκη τοῦ τοκετοῦ Μαρίας·
40 „Καὶ γὰρ ποθοῦντας εἴδετ' ἄνευ ἐλπίδος
„Τινάς, ὧν ἀπλήρωτος μένων ὁ πόθος
„Ἐγένετ' αὐτοῖς κόλασις αἰωνία,
„Ἀριστοτέλη, φημί, Πλάτωνα κἄλλους
„Πολλούς . . ." Κἀνταῦθα κατέκυψε τὴν ὄψιν
45 Οὐδὲν πλέον ἐπεῖπε, σκυθρωπὸς μείνας.
Ἐν τούτοις ἀφίγμεθα πρὸς ὄρους πόδας·
Εὕρομεν δ' ἐκεῖ κρημνὸν οὕτως ἀνάντη,
Ὥστ' ἂν ἐπισπεύσαιεν μάτην αἱ κνῆμαι.
Μέσον Ἐρίκου καὶ Τροπαίων τὰ μάλα
50 Ἔρημα κἄβατ' ἐρείπι' ἐστὶ κλίμαξ,
Κατὰ σύγκρισιν, εὐχερὴς καὶ πλατεῖα.
"Τίς τοίνυν οἶδε, πόθεν ἡ κλιτὺς ῥέπει,"
Εἶπεν οὑμὸς Προτάτης, ἐπισχὼν βῆμα,
"Ἵν' ἀναβῇ τις ἄμοιρος ὢν πτερύγων;"

55 Ἐν ᾧ δ' αὐτὸς μὲν τὴν ὄψιν κάτω κλίνων
Ἐξιχνίαζε τὴν ὁδὸν τῆς πορείας,
Ἐγὼ δ' ἔβλεπον περὶ τὸν κρημνὸν ἄνω,
Ἐξ ἀριστερῶν ἐφάνη μοί τι πλῆθος
Ψυχῶν πρὸς ἡμᾶς προσερχομένων βάδην,
60 Ἀλλ' ἐκ τῆς βραδύτητος ἀνεπαισθήτως.
"'Ανάτεινον τὰς ὄψεις," εἶπον, "Προστάτα·
,,Βλέπ' ἐκεῖθεν τίς ἡμῖν συμβουλὴν δώσει,
,,Εἴγ' ἀπὸ σαυτοῦ ταύτην ἔχειν μὴ δύνῃ."
Εἶδέ με τότε καὶ θαῤῥαλέως εἶπεν·
65 "'Αγωμεν ἐκεῖ· καὶ γὰρ βραδυποροῦσι·
,,Καὶ σὺ στερῥὰν ἔχ' ἐλπίδα, γλυκὺ τέκνον."
Μακρὰν τὸ πλῆθος ἐκεῖν' ἡμῶν ἦν ἔτι,
Καίτοι βήματα χίλια παρελθόντων,
Ὅσον εὔρωστος χεὶρ ἂν ἐφῆκε λίθον,
70 Ὅτ' ἐπὶ σκληρῶν συμπυκνωθεῖσαι βώλων
Ἄνω τοῦ κρημνοῦ στερῥῶς ἵσταντο πᾶσαι,
Ὡς τις ἐν ὁδῷ διστάζων μένει βλέπων.
"'Ω ψυχαὶ τέλους εὐτυχοῦς ἐκλεκταί τε,"
Ἤρξατο Βιργίλιος, "πρὸς τῆς εἰρήνης,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

75 „Ἦ πάσας ὑμᾶς, ὡς πέποιθ', ἀναμένει,
„Ἡμῖν εἴπατε, πόθεν τοῦρος ἐγκλίνει,
„Ἵν' ἀναβῶμεν· ἡ γὰρ μάτην τοῦ χρόνου
„Χρῆσις μάλιστ' ἐπαχθὴς τῷ πλεῖστ' εἰδότι."
Ὡς ἐξέρχεται τὰ πρόβατα τῆς μάνδρας
80 Καθ' ἕν, ἢ δύ', ἢ τρία, τὰ δ' ἄλλα μένει
Πεπτηῶτ', ὄμμα κλίνοντα καὶ μυκτῆρα,
Ὅπως τε πράττει τὸ πρῶτον, τἆλλα πράττει,
Αὐτοῦ τ' ἐρείδετ' ἐπ' ὤμων ἑστηκότος,
Ἁπλᾶ κ' εὐήθη, διὰ τί τ' ἀγνοοῦντα·
85 Οὕτω τότ' εἶδον προσιόντας τοὺς πρόσθεν
Τῆς μακαρίας κείνης ποίμνης, τὴν ὄψιν
Αἰδήμονός τε καὶ τὸ βῆμα κοσμίας.
Ἐπεὶ δ' αἱ πρῶται ψυχαὶ τὸ φῶς ἐκλεῖψαν
Εἶδον ἐπὶ γῆς ἐκ δεξιοῦ μου μέρους,
90 Ἐπὶ τοῦ κρημνοῦ τῆς σκιᾶς μου φανείσης,
Ἔστησαν, χωρήσασαι μικρὸν ὀπίσω.
Αἱ δ' ἄλλαι πᾶσαι προσβαίνουσαι κατόπιν,
Ἀγνοοῦσαι διὰ τί, πράξαν ὡσαύτως.
"Ὑμῖν ἔγωγε, πρὶν πυθέσθαι μου, λέξω,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

95 „Ὡς ἀνθρώπινον σῶμ' ἔσθ' ὅπερ ὁρᾶτε,
„Διὰ τῆς σκιᾶς ἀπεῖργον φῶς ἡλίου.
„Μὴ θαυμάζετε τοίνυν· σαφῶς δὲ γνῶτε
„Ὡς ὅδ' οὐκ ἄνευ χάριτος οὐρανίας
„Ζητεῖ τοῦδ' ὄρους τὴν ὁδὸν ἀναβῆναι."
100 Ταῦτα μὲν ὁ Προστάτης· ψυχαὶ δ' ἐκεῖναι·
"Στράφητ', ἔλθετε πρὸς ἡμᾶς λοιπόν," εἶπον,
Ἡμῖν χερσὶν ὑπτίαις σῆμα ποιοῦσαι.
Μία δὲ τούτων ἔκραξεν· "Ὁποῖός περ
„Εἶ σύ, βαίνων οὕτω πως, τρέψον τὴν ὄψιν·
105 „Ἐν μνήμῃ θές, εἴπού μέ ποτ' ἐθεάσω."
Στραφεὶς πρὸς αὐτόν, ἔτειν' ἀτενὲς βλέμμα.
Ξανθός, εὐειδὴς καὶ κομψὸς ἦν τὴν θέαν·
Ἀλλ' εἶχεν οὐλὴν ἐν μιᾷ τῶν ὀφρύων.
Ἐπεὶ δ' ἀπεῖπον αἰδεσίμως οὐδέπω
110 Αὐτὸν ἑωρακέναι, "Νῦν," ἔφη, "βλέπε,"
Δεικνύς μοι πληγὴν ἐπάνωθι τοῦ στήθους.
Εἶτ' ἐπεῖπε μειδιῶν· "Εἰμὶ Μαμφρέδης,
„Ὑιὸδοῦς Κωνσταντίας Αὐτοκρατείρας.
„Ἱκετεύω σ' οὖν, ὅταν ἐπανακάμψῃς,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

115 „Ἴθι πρὸς ἐμὴν θυγατέρα, μητέρα
„Τοῦ Σικελίας κ' Ἀῤῥαγωνίας κλέους,
„Ἐρῶν αὐτῇ τἀληθές, εἰ λέγουσ' ἄλλως.
„Ὁπότ' οὖν ἔσχον διάτρητον τὸ σῶμα
„Δυσὶ θανατηφόροις πληγαῖς, προσῆλθον
120 „Κλαίων τῷ στοργῇ τὰ πταίσματ' ἀφιέντι.
„Φρικώδεις ἦσαν αἱ 'μαὶ παρανομίαι·
„Ἀλλ' ὁ θεῖος ἔλεος ἔσθ' οὕτω μέγας,
„Ὥστ' εὐμενῶς δέχεται τοὺς προσιόντας.
„Εἰ Κωνσεντίας ὁ ποιμήν, ὃς ἐστάλη
125 „Ὑπὸ Κλήμεντος πρὸς δίωξίν μου, τότε
„Καλῶς προανεγνώκει τὴν θείαν δέλτον,
„Ὀστέα τοὐμοῦ σώματος ἦν ἂν ἔτι
„Ἐπ' ἄκρας τῆς γεφύρας ἐν Βενευέντῳ,
„Ὑπὸ βαρέων φυλαττόμενα λίθων·
130 „Νῦν δ' ὄμβροις ἐκτέθειται φοραῖς τ' ἀνέμων
„Ἐκτὸς τοῦ Βασιλείου παρὰ τὸν Λεῖριν,
„Ἔνθ' ἐσβεσμέναις μετηνέχθη λαμπάσιν.
„Ἀλλ' οὐκ ἀπόλλυσ' ἀνάθεμ' αὐτῶν οὕτως,
„Ὥστ' ἀποκλείειν τὴν θείαν εὐσπλαγχνίαν,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

135 „Ἐφ' ὅσον ἔστ' ἐλπίδι πρασόχρουν ἄνθος.
„Ὄντως ὁ θανὼν ἀποκεκηρυγμένος
„Τῆς Ἐκκλησίας, καίτοι μετανοήσας
„Τέλος, ἐκτὸς ὅρους τοῦδ' ὀφείλει στῆναι
„Τριακοντάκις τοσοῦτον χρόνον ὅσον
140 „Ἦν ὑπερφρονῶν, πλὴν ἐὰν ἱκεσίαις
„Ἄπειρξις αὐτῷ ψηφισθῇ βραχυτέρα.
„Ἰδὲ τοίνυν εἴ μ' εὐτυχῇ ποιεῖν δύνῃ,
„Ἀναγγέλλων τῇ φίλῃ μοι Κωνσταντίᾳ,
„Ὡς μ' ἑώρακας ἀπειργμένον εἰσέτι·
145 „Ὧδε γὰρ προχωροῦμεν εὐχαῖς τῶν ζώντων."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ Δ'.

Εἴσοδος εἰς τοὺς ἐκτὸς κύκλους τοῦ Καθαρτηρίου.—Οἱ νωθροί, οἱ βραδύναντες μετάνοιαν ἄχρι τῆς ἐσχάτης ὥρας.—Βελάκουας.

Ὅτ' ἐξ ἡδονῆς ἢ λύπης κατεχούσης
Τῶν αἰσθήσεών τινα τῶν ἡμετέρων,
Ἡ ψυχὴ πάντως ἐν αὐτῇ συγκεντροῦται,
Ὥστ' οὐκέτι ταῖς ἄλλαις δοκεῖ προσέχειν·
5 Τοῦτο δ' ἀναιρεῖ τὴν πλάνην τῶν φρονούντων
Ψυχὴν ἐν ἡμῖν ἐξάπτεσθ' ἐφ' ἑτέρας·
Ὅταν γὰρ, ἀκούωμεν ἢ βλέπωμέν τι
Τὴν ψυχὴν σφοδρῶς ἐν αὐτῇ συνεφέλκον,
Ἄπεισ' ὁ χρόνος, ἡμῶν οὐκ αἰσθομένων·
10 Ἄλλη γὰρ ἡ δύναμις, ἥτις ἀκούει,
Ἄλλη δ' ἐσθ' ἡ τὴν ψυχὴν κατέχουσ' ὅλην,
Οὖσ' αὕτη σχεδὸν δετή, λυτὴ δ' ἐκείνη·
Τούτου δὴ πεῖραν ἀληθῆ καὐτὸς ἔσχον,
Ἀκούων τὸ πνεῦμ' ἐκεῖνο καὶ θαυμάζων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

15 Ἤδη γὰρ πεντήκοντα βαθμοὺς ἀνῆλθεν
Ἥλιος, κἀγὼ τοῦτ' οὐκ ᾐσθόμην, ὅτε
Ἤλθομεν ὡς ἐκ μιᾶς αἱ ψυχαὶ 'κεῖναι
Ἔκραξαν ἡμῖν· "Ὧδ' ἐστιν ὃ ζητεῖτε."
Μεῖζον ἄνοιγμα πολλάκις ἀποφράττει
20 Δικροῖς καὶ δεσμαῖς ἐνακάνθων κλαδίσκων
Ὁ χωρίτης, ὅτ' ἐπιχρώννυθ' ὁ βότρυς,
Ἧπερ ἦν ὁ στενωπὸς, ὅθεν ἀνέβη
Οὑμὸς Προστάτης κἀγὼ σὺν αὐτῷ μόνοι,
Ἁμ' ἀποχωρήσαντος ἡμῶν τοῦ πλήθους.
25 Ἀνεισιν εἰς Σάνλεον, κάτεισ' εἰς Ναῦλον,
Ἐπ' ἄκραν ἀναβαίνει τῆς Βισμαντούας
Αὐτοῖς ποσί τις· ἀλλ' ὧδε πτῆναι δέον·
Ἐλαφραῖς, φημί, πτέρυξί τε καὶ πτίλοις
Σφοδροῦ πόθου μ' ὠθοῦντος κατόπιν κείνου,
30 Ὃς ἐλπίδ' ἐδίδου μοι κἀφωταγώγει.
Ἀνεβαίνομεν ἐντὸς ῥωγάδος πέτρας,
Πάντοθεν ἡμᾶς τῇ σφίγξει πιεζούσης,
Ποσὶ καὶ χερσὶν ἕρποντας ἐπὶ τοὖδας.
Ὅτ' ἐξήλθομεν ἐκ τοὐπάνωθεν ἄκρου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

35 Τῆς κρημνωρείας εἰς ἀναπετῆ πλάκα,
"Τίν' ὁδὸν βαδίσομεν," εἶπον, "Προστάτα;"
Ὁ δὲ πρὸς ἐμέ· "Μὴ κάταγε τὸ βῆμα·
,,Ἀλλ' ἀνάβαιν' ὄπισθεν ἐμοῦ πρὸς τοῦρος
,,Ἕως ὁδηγοῦ τύχωμεν εὖ εἰδότος."
40 Τἆκρον ἦν μὲν ὑψηλὸν νικῶν τὴν ὄψιν·
Ἡ κλιτὺς δέ πως ἦν ἀποτομωτέρα
Γραμμῆς ἐκ μέσου γνώμονος πρὸς τὸ κέντρον.
Κεκμηκὼς ἤμην, ὅτε λέγειν ἠρξάμην·
"Ὦ γλυκὺ πάτερ, στράφητι δὴ καὶ βλέπε
45 ,,Ὡς μένω μόνος, εἰ μὴ παύσῃ προβαίνων."—
"Τέκνον, ἕρπυσον ἕως ἐκεῖ," τότ' εἶπε,
Μικρὸν προς τἄνω προσχωμά μοι δεικνύων,
Τοῦρος ἐκεῖνο συμπεριζωννὺν ὅλον.
Τοσοῦτον οὗτοί μ' ἐκέντρισαν οἱ λόγοι,
50 Ὥστε σπουδῇ πρὸς αὐτὸν ἀνερριχώμην,
Ἑωσοῦ τὸ πρόσχωμ' ἦν ὑπ' ἐμοὺς πόδας.
Ἐκεῖ δὴ καθέσθημεν ἄμφω, πρὸς ἕω
Στραφέντες ὅθεν ἦμεν ἐληλακότες·
Βλέπων γὰρ ἣν διήνυσ' ὁδόν τις χαίρει.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

55 Πρῶτον κάτω πρὸς ἀκτὰς τὰς ὄψεις τείνας,
Ὕψωσ' εἶτ' αὐτὰς πρὸς ἥλιον, θαυμάζων
Πῶς τὰς ἀκτῖνας ἔπεμπ' ἐξ εὐωνύμου.
Ὁ δὲ Ποιητὴς αἰσθόμενος ὡς ἤμην
Ἔκπληκτος τὸν ἥλιον διφρηλατοῦντα
60 Βλέπων ἡμῶν μεταξὺ καὶ τοῦ Βορρέως,
Εἶπεν· "Εἰ Κάστωρ καὶ Πολυδεύκης ἦσαν
„Συνοπαδοὶ τῷ λαμπρῷ κατόπτρῳ κείνῳ,
„Ὅπερ τὸ φῶς σκεδάννυσ' ἄνω καὶ κάτω,
„Τὸν ἀστροφαῆ Ζῳδιακὸν ἂν εἶδες
65 „Ἔτ' ἐγγύτερον στρεφόμενον τῶν Ἄρκτων,
„Εἰ μὴ τῆς τακτῆς ἐξήρχετο κελεύθου.
„Πῶς τοῦτο δ' οὕτως ἔχει νοεῖν εἰ βούλει,
„Κατὰ σεαυτὸν φαντάσθητι Σιῶνα
„Ἑστηκέν' ἐπὶ τῆς γῆς σὺν ὄρει τούτῳ,
70 „Ὥστ' ἔχειν ὁρίζοντα τὸν αὐτὸν ἄμφω,
„Ἀλλοῖα δ' ἡμισφαίρι', ὅθεν τὸν δρόμον,
„Ὃν διελθεῖν οὐκ ᾔδει τάλας Φαέθων,
„Ὄψει πῶς ἀναγκαῖον ἐντεῦθεν βαίνειν
„Ἐξ ἑνὸς πλευροῦ, κἀκεῖθεν ἐκ θατέρου,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

75 „Εἴπερ ἡ σὴ νόησις σαφῶς ἐτάζει."—
"'Αληθῶς," εἶπον, "Προστάτα, μέχρι τοῦδε
„Οὐκ ᾔδειν σαφῶς, καθὼς νῦν διακρίνω,
„Τοῦ πνεύματός μου πρὸς τοῦτ' οὐκ ἐπαρκοῦντος.
„Το γὰρ ἡμικύκλιον φορᾶς τῆς ἄνω,
80 „Ὅπερ Ἰσημερινὸν Σοφοὶ καλοῦσιν,
„Ἡλίου μέσον ὂν ἀεὶ καὶ χειμῶνος,
„Δι' ἃς λέγεις αἰτίας ἐνταῦθα ῥέπει
„Πρὸς τὸν Ἀρκτῷον πόλον, τῶν πρὶν Ἑβραίων
„Βλεπόντων αὐτὸ πρὸς τὰς θερμώδεις χώρας.
85 „Ἀλλ' εἴ σοίγ' ἦν ἀρεστόν, εἰδέν' ἐπόθουν,
„Πόσον ἔθ' ὁδευτέον· καὶ γὰρ ὑψοῦται
„Τοῦρος πλέον ἢ τοὐμὸν ἱκνεῖται βλέμμα."
Ὁ δὲ πρὸς ἐμέ· "Τοῖόν ἐστ' ὄρος τόδε,
„Ὥστ' ἐν ἀρχῇ δύσαντες ἔστ' ἀεὶ πάνυ·
90 „Ὅσῳ δ' ἄνω βαίνει τις, ἧττον μοχθίζει.
„Ἀλλ' ὁπόταν λεῖόν σοι φανῇ τοσοῦτον,
„Ὥστε τὴν ἀνάβασιν εἶναί σοι κούφην,
„Ὡς ἐπὶ νηὸς κατὰ ῥοῦν κατιόντι,
„Τότ' ἀφίξῃ τὸ τέρμα πορείας τῆσδε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

95 „Ἐκεῖ περίμεν' ἀνάπαυσιν καμάτου.
„Πλέον οὐ λέγω· τόδ' ὡς ἀληθὲς οἶδα."
Ἅμα δὲ περάναντος αὐτοῦ τὸν λόγον,
Ἤχησε φωνὴ πλησίον ἡμῶν· "'Ἴσως
„Καθεσθῆναι πρότερον ἀναγκασθήσῃ."
100 Πρὸς δὲ τὴν φωνὴν αὐτὴν ἄμφω στραφέντες
Εἴδομεν ἐπὶ λαιὰ μεγάλην πέτραν,
Ἣ πρῶτον οὐδέτερος ἡμῶν προσέσχεν·
Ἐγγὺς ἐλθόντες, ἐκεῖ δὴ καθημένας
Εὕρομεν ψυχὰς ὑπὸ σκιὰν τῆς πέτρας,
105 Ὡς τὶς κατακείμενος ὑπὸ νωθρείας.
Μία δ' ἐξ αὐτῶν, ἣ κεκμηκυῖ' ἐδόκει,
Ἐκάθητ' ἀγκὰς συνέχουσα τὰ γοῦνα,
Καὶ μέσον αὐτῶν ἐγκλίνουσα τὴν ὄψιν.
"'Ὦ γλυκὺ Δέσποτ'," εἶπον, "ἐκεῖνον βλέπε,
110 „Ὅστις ἑαυτὸν νωθρότερον δεικνύει
„Ἤπερ ἀδελφὴν ἔχων τὴν ὀκνηρίαν."
Στραφεῖσα τότε πρὸς ἡμᾶς ἐθεᾶτο
Διὰ τῶν μηρῶν τὸ βλέμμα τρέπουσ' ἄνω,
Κῆπεν· "'Ανάβα σὺ γοῦν, ὃς εἶ γενναῖος."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

115 Τότ' ἔγνων τίς ἦν· ὁ κάματος δ' ἐκεῖνος,
Ὁ τὴν πνοήν μου μικρὸν ἔτ' ἐπισπεύδων,
Οὔ μ' ἐκώλυσεν αὐτῷ προσελθεῖν· κᾆτα
Ἡμῶν ἐλθόντων, κεφαλὴν ἦρε μόλις,
Λέγων· "Ἔγνως σαφῶς, πῶς τὸν αὐτοῦ δίσκον
120 „Ἥλιος ἄγει πρὸς ἀριστερὰν χεῖρα;"
Ἡ νωθὴς στάσις αὐτοῦ καὶ βραχεῖς λόγοι
Ἐκίνησάν πως πρὸς γέλων τἀμὰ χείλη.
Εἶτα δ' ἠρξάμην· "Βελάκουα, τοὐντεῦθεν
„Οὐκ ἄχθομαί σοι· λέγε μοι δέ, πῶς ὧδε
125 „Εἶ καθήμενος· παραπομπὴν προσμένεις;
„Ἢ τὸν συνήθη πάλιν ἔλαβες τρόπον;"
Οὗτος δ'· "Ἀδελφέ, πρὸς τί μοι τἀναβῆναι;
„Πρὸς ἱλασμὸν γὰρ ἰέν' οὐκ ἄν μ' ἐάσοι
„Ἄγγελος θεοῦ, τὴν θύραν ὁ φυλάσσων.
130 „Πρῶτον ἐκτὸς τοὐρανοῦ δέον μ' ἱστάναι
„Τοσοῦτον χρόνον, ὅσον ἦν ἐν τῷ βίῳ,
„Ὡς μετάνοιαν βραδύναντ' ἄχρι τέλους,
„Ἂν ὑπὲρ ἐμοῦ μὴ γένωνται δεήσεις
„Ἐκ θεοσεβοῦς ἐκρέουσαι καρδίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

135 „Τί κέρδος ἄλλων, αἷς Οὐρανὸς κωφεύει;"
Ὁ δὲ Ποιητὴς ἀνέβαιν' ἔμπροσθέν μου
Λέγων· "Ἔπου μοι· πῶς δ' ἐπιψαύει βλέπε
„Ἥλιος μεσημβρινοῦ, καὶ πρὸς τὴν ὄχθην
„Ἡ νὺξ τίθησι πόδ' ἐπὶ Μαυρουσίας."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ Ε'.

Οἱ μετανοήσαντες ἐν καιρῷ βιαίου θανάτου.—
Βογκόντης ἐκ Μόντος Φέλτρου.—Πία.

Ἀποχωρήσας ἤδη τῶν σκιῶν κείνων,
Εἰπόμην τοῖς ἴχνεσιν Ἡγήτορός μου,
Ὅτ' ὄπισθέν μου, τῷ δακτύλῳ δεικνῦσα,
Μί' ἔκραξεν· "Ἴδε πῶς ἀκτῖν' οὐκ ἔχει
5 ,,Πρὸς τἀριστερὰ λάμπουσαν ὁ κατόπιν.
,,Ἀλλ' ὥσπερ ἄνθρωπος ζῶν δοκεῖ βαδίζειν."
Τὰς ὄψεις στρέψας πρὸς τὴν ἠχὴν τῶν λόγων,
Εἶδον αὐτάς με καθορώσας ἐκθάμβως,
Ἐμὲ καὶ μόνον φῶς θ', ὅπερ ἐπεπρόσθουν.
10 "Τί παρενοχλεῖ τὴν σὴν φρέν' οὕτως," εἶπεν
Οὑμὸς Προστάτης, "ὥστ' ἰέναι βραδύνεις;
,,Εἴ τι ψιθυρίζουσι 'κεῖ, τί σοι μέλει;

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Ἀκολούθει μοι, κἆφες τοῖς ἄλλοις λέγειν.
,,Ὡς πύργος στῆθι στερῥός, οὗπερ τὴν ἄκραν
15 ,,Οὔποτε σείουσ' αἱ πνοαὶ τῶν ἀνέμων.
,,Ἀεὶ γὰρ ἀνήρ, ἐν ᾧ βλαστάνει σκέψις
,,Ἐπὶ σκέψεως, σκοποῦ διαμαρτάνει,
,,Ἐξασθενούσης τῆς μιᾶς τὴν ἑτέραν."
Τί ποτ' εἶχον ἀντειπεῖν, πλὴν ὅσον: Ἥκω;
20 Τοῦτ' εἶπον, χροιᾷ καλυφθεὶς τῇ συγγνώμης
Ἔσθ' ὅτ' ἄξιον τὸν ἄνθρωπον ποιούσῃ.
Ἀλλ' ἐν τούτοις ἤρχοντο διὰ τῆς ὄχθης
Ψυχαί τινες ἔμπροσθεν ἡμῶν μικρόν τι,
Ἐλέησον κράζουσαι στίχον πρὸς στίχον.
25 Ὅτε δ' ᾔσθοντο τὸ σῶμά μου κωλύον
Τὴν διάβασιν ἡλιακῶν ἀκτίνων,
Εἰς Ω μακρὸν καὶ βραγχὸν ἔτρεψαν τᾷσμα.
Δύο δ' ἐξ αὐτῶν ἐν εἴδει διαγγέλων
Ἀντίον ἡμῶν ἔδραμον ἐρωτῶσαι·
30 "Ἡμῖν εἴπατε, τίνες ἐστὲ τὴν τάξιν."
Προστάτης δ' ἐμός· "Δύνασθ' ἐπανακάμψαι
,,Ἀγγελοῦντες τοῖς ὑμᾶς ἀπεσταλκόσιν,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ὅτι σὰρξ ἔστ' ἀληθὴς τούτου τὸ σῶμα.
„Εἰ δ', ὡς ἔοικεν, ἵν' ἴδωσιν ἱστᾶσιν
„Αὐτοῦ τὴν σκιάν, ἅλις ἀπεκρινάμην.
„Τιμησάτωσαν, καὐτοῖς προσφιλὴς ἔσται."
Οὔποτ' εἶδον τάχιον ἀτμοὺς ἡμμένους
Ἐν ἀρχῇ νυκτὸς σχίζοντας τὸν αἰθέρα,
Οὔτ' ἐν Αὐγούστῳ νέφη, δυσμαῖς ἡλίου,
Ἢ τούτους πάλιν ἐπιστρέψαντας ἄνω,
Κᾆτα πρὸς ἡμᾶς ἐλθόντας σὺν τοῖς ἄλλοις,
Ὡς ἱππικὸν ἐφορμῶν ἀχαλινώτως.
"Τὸ παμπληθὲς πρὸς ἡμᾶς συσπεῦδον πλῆθος
„Ἔρχεταί σ' ἱκετεῦσον," εἶπεν Ἡγήτωρ.
"Πρόβαινε τοίνυν, κἄκουε συμβαδίζων."—
"Ὦ σύ, ψυχὴ βαίνουσα δοκοῦσά τ' εὔφρων
„Σὺν οἷς μέλεσιν ἐγεννήθης, μικρόν τι,"
Ἤρχοντο κραυγάζουσαι, "τὸ βῆμ' ἐπίσχες.
„Εἴποτ' ἐθεάσω τίν' ἐξ ἡμῶν βλέπε,
„Ἵν' ἀγγελίας ἐκεῖσ' αὐτοῦ κομίσῃς.
„Αἴ, πῶς προβαίνεις; αἴ, πῶς οὐκ ἀναμένεις;
„Ἀπεθάνομεν ἤδη πάντες βιαίως,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Ἡμάρτομέν τε μέχρις ἐσχάτης ὥρας·
,,Τότ' ἀκτὶς ἔτειλ' ἐφ' ἡμᾶς οὐρανόθεν.
55 ,,Μετανοοῦντες, συγχωροῦντες, τοῦ βίου
,,Ἐκτὸς ἤλθομεν, θεῷ συναλλαγέντες,
,,Οὗ νῦν ποθοῦμεν ἰδεῖν τὴν παρουσίαν."
Κἀγώ· "Τὰς ὄψεις ὑμῶν ἐνατενίζων,
,,Οὐδέν' ἀναγνωρίζω· πλὴν εἴπατέ μοι,
60 ,,Εἴ τι δύναμαι, πνεύματ' εὖ γεγονότα,
,,Εἴπατε, καὶ ποιήσω, πρὸς τῆς εἰρήνης,
,,Ἡ κατόπιν τοῦδ' Ἡγήτορος ἐκ κόσμου
,,Εἰς κόσμον ἀναζητεῖν αὐτὴν ποιεῖ με."
Εἷς δ' αὐτῶν ἀπεκρίθη· "Τῇ σῇ δὴ πᾶς τις
65 ,,Εὐποιΐᾳ πέποιθεν, ὅρκων οὐ χρῄζων,
,,Ἣν μὴ σὴν βουλὴν τἀδύνατον ἀπείργῃ.
,,Ἔγωγ' οὖν μόνος ὁ λαλῶν πρὸ τῶν ἄλλων
,,Ἐκλιπαρῶ σ', ἣν χώραν κείνην ποτ' ἴδῃς
,,Τὴν μέσον Ῥωμανίας καὶ τῆς Καρόλου,
70 ,,Εἶναί μοι φιλόφρονα ταῖς σαῖς ἐν Φάνῳ
,,Προτροπαῖς, ὥστε δι' ἔμ' εὐχὰς ποιεῖσθαι,
,,Ἵν' ἐκκαθάρω βαρείας ἁμαρτίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ἐκεῖθεν ἤμην· ἀλλὰ πληγὰς βαθείας,
„Ἐξ ὧν ἔῤῥευσε τὸ ζωογονοῦν μ' αἷμα,
75 „Ἐν Ἀντηνόρων χώρᾳ κατήνεγκάν μοι,
„Ἔνθ' ᾠόμην ζῆν μᾶλλον ἐν ἀσφαλείᾳ.
„Ταῦτα δ' ἐποίησ' Ἀτέστης Δούξ, ὃς πλέον
„Δι' ὀργῆς μ' εἶχεν ἢ δίκαιον ἀπῄτει.
„Ἀλλ' εἰ φθὰς ἀφικόμην πρὸς Μίραν ἄνω,
80 „Ὅτε προκατελήφθην ἐν Ὀριάκῳ,
„Εἰσέτ' ἂν εἴην ἐν τῷ κόσμῳ τῶν ζώντων.
„Εἰς τέλμ' ἔδραμον· πηλῷ δὲ καὶ καλάμοις
„Περιπλεχθεὶς ἔπεσον, ἐπὶ γῆς τ' εἶδον
„Ἐκ φλεβῶν ἐμῶν σχηματισθεῖσαν λίμνην."
85 Εἶτ' ἄλλος εἶπεν· "Εἴθε σοι τελεσθείη
„Ὁ πόθος ὁ πρὸς αἰπὺ τόδ' ἕλκων ὄρος,
„Μετ' εὐμενοῦς οἰκτιρμοῦ τῷ 'μῷ βοήθει.
„Βιγκόντης τοὔνομ', ἤμην ἐκ Μόντος Φέλτρου·
„Ἰωάννᾳ οὔτ' ἄλλοις ἐμέλησέ μου·
90 „Διὸ σὺν τούτοις πρηνὴς τὴν ὄψιν βαίνω."
Κἀγὼ πρὸς αὐτόν· "Τίς δύναμις, τίς τύχη
„Παρέσυρέ σε μέχρι τοῦ Καμπαλδίνου,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ὥστε σὴν ταφὴν μηδένα ποτ' εἰδέναι;"—
"Φεῦ!" ἀπεκρίθη, "πρὸς πόδας Κασεντίνου
95 „Ποταμὸς Ἀρχιανὸς ῥέει πηγάζων
„Ἐν Ἀπεννινοῖς ὕπερθ' Ἀσκητηρίου.
„Ἀφικόμην ἔνθ' αὐτοῦ τοὔνομα παύει,
„Ἔχων τὸν λαιμὸν διάτρητον, καὶ φεύγων
„Αὐτόπους καὶ τοὔδαφος αἵμασι βρέχων.
100 „Ἐκεῖ τὴν ὄψιν ἀπώλεσα, καὶ λέξιν
„Ἐσχάτην εἶπον τοὔνομα τῆς Μαρίας·
„Ἐκεῖ τ' ἔπεσον, σὰρξ νεκρὰ μόνη μείνας.
„Τἀληθὲς ἐρῶ· σὺ δ' αὖθις ἐρεῖς ζῶσιν.
„Ἄγγελος θεοῦ μ' ἔλαβ'· Ἄγγελος δ' Ἅδου
105 „Ἔκραζ'· 'Ἄγγελ' Οὐρανοῦ, τί με συλεύεις;
'Τὴν ἀθάνατον αὐτοῦ ψυχὴν ἀπάγεις,
'Ἣν ἓν ἀπ' ἐμοῦ δακρύδιον ἁρπάζει·
'Ἀλλ' ἄλλην τἄλλου ποιήσομ' ἐγὼ χρῆσιν.'
„Εὖ οἶδας ὅπως συμπυκνοῦτ' ἐν αἰθέρι
110 „Πᾶς ὑγρὸς ἀτμός, ὃς εἶτ' εἰς ὕδωρ πίπτει,
„Ἅμ' ἀναβὰς ἔνθ' αὐτὸν ψῦχος κατίσχει.
„Ἄγγελος Ἅδου κακόνοιαν φρονήσει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ἔμιξε, καπνὸν ἄνεμόν τε κινήσας,
„Δι' ἧς φυσικῶς ἔσχηκεν ἐνεργείας.
„Ὅθεν ἡ κοιλάς, τῆς ἡμέρας ληξάσης,
„Πρατομάγου τε δειρὰς πᾶσ' ἐκαλύφθη
„Νεφέλαις, καὶ κατέσχεν οὐρανὸν ζόφος.
„Ἀήρ τε πηγνὺς εἰς ὕδωρ μετετράπη·
„Ὄμβρος ἔπεσεν, ἔσυρέ τ' εἰς τοὺς λάκκους
„Ὅ, τι περ ὑπὸ τῆς γῆς οὐκ ἐῤῥοφήθη.
„Τοῖς μεγάλοις δὲ συγκαταμιχθεὶς ῥείθροις
„Πρὸς τὸν κύριον ποταμὸν ὠκυῤῥόως
„Κατεκρημνίσθη, κοὐδὲν αὐτὸν ἐπέσχε.
„Τοὐμὸν δὲ παγὲν σῶμ' εὑρὼν ἐν ἐκρύσει
„Ἀπηνὴς Ἀρχιανὸς ὤθησ' εἰς Ἄρνον,
„Λύσας ὃν σταυρὸν ὠλέναις ἐπὶ στήθους
„Ἐποίησ', ὅτε μ' ἐνίκησεν ἡ λύπη.
„Εἰς τὴν ὄχθην μ' ἔῤῥιψε, κᾆτ' εἰς τὸ βάθος
„Σωροῖς ἰλύος ἐκάλυψέ με χώσας."—
"Φεῦ! ὅταν εἰς τὸν κόσμον ἐπανακάμψῃς,
„Τύχῃς τ' ἀναπαύσεως τῆς μακρᾶς τρίβου,"
Μετὰ δεύτερον προσεῖπε πνεῦμα τρίτον,

„Μέμνησο κἀμοῦ τῆς Πίας, ἥτις ἔσχον
„Τὸ ζῆν ἐν Σήνῃ, τὸ θανεῖν ἐν Μαρέμμῃ.
„Τοῦτ' οἶδ' ἐκεῖνος, ὃς πρὶν μεμνηστευμένην
„Γαμετὴν ἔσχε μ' οἰκείῳ δακτυλίῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΣΤ'.

Ἡ ἐνεργεια τῶν ὑπὲρ τῶν ἀποθανόντων δεήσεων.—
Σορδέλλος.

Μετὰ τὸ τέλος τοῦ παιγνίου τῶν κύβων,
Ὁ μὴ κερδήσας ἵσταται τεθλιμμένος,
Ἐπαναδιπλῶν τὰς βολάς, καὶ μανθάνει.
Θἀτέρῳ δ' ἀκολουθεῖ τὸ πέριξ πλῆθος,
5 Ὁ μὲν βαίνων ἔμπροσθεν, ὁ δὲ κατόπιν,
Ἄλλος ἑαυτὸν δεικνὺς αὐτῷ πλευρόθεν·
Αὐτὸς δ' οὐ μένων τοῦ μὲν καὶ τοῦ δ' ἀκούει,
Ὑποχωροῦντος ᾧ τινι τείνῃ χεῖρα,
Οὕτω δ' ἑαυτὸν ἀπαλλάττει τοῦ πλήθους·
10 Τοιόσδ' ἐν μέσῳ τῆς πυκνῆς τύρβης ἤμην,
Τὴν ὄψιν στρέφων αὐτοῖς ἔνθεν κἀκεῖθεν,
Ὑπισχνούμενός τ' αὐτῶν ἀπηλλαττόμην.
Ἐκεῖ δ' ἦν Ἀρρητῖνος, ὃς ἐφονεύθη
Ὑπὸ τρομερᾶς χειρὸς Γίνου τοῦ Τάκκου,
15 Ὅ, τ' ἄλλος ὅστις κυνηγετῶν ἐπνίγη·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἐκεῖ τε χερσὶν ἐκτενέσιν ἐδεῖτο
Φρεδερίκος Νοβέλλος, ὅ, τε Πισαῖος,
Ὁ τὸν χρηστὸν Μαρζοῦκον ἰσχυρὸν δείξας.
Τὸν κόμητ' Ὄρσον εἶδον, καὶ χωρισθεῖσαν
Ψυχὴν σώματος διὰ μῖσος καὶ φθόνον,
Ὡς δ' ἔλεγ', οὐχὶ διὰ πραχθέν τι πταῖσμα,
Πέτρον, φημί, Βροκκίαν· ἀλλ' ὧδ' ὁράτω,
Ὡς ἔτι ζῶσα, Βραβαντίας κυρία
Μὴ δι' αὐτὸ χείρονος ἀγέλης τύχῃ.
Ἐλευθερωθεὶς πασῶν τῶν δεομένων
Σκιῶν, ἵν' ὑπὲρ αὐτῶν εὐχὰς ποιῶνται,
Ὅπως τάχιον ἅγιαι καταστῶσιν,
Ἠρξάμην λέγων· "Ἀρνεῖσθαί σε δοκεῖ μοι,
„Ὦ φῶς ἐμόν, ἔν τινι σαφεῖ χωρίῳ,
„Ὅτι δέησις οὐ κάμπτει βουλὴν θείαν·
„Αἱ σκιαὶ δ' αὗται δέονται περὶ τούτου·
„Ἔστιν ἡ τῶν ὧδ' ἐλπὶς ἆρα ματαία;
„Ἢ τὸ σὸν ῥητὸν καταφανὲς οὐκ ἔστι;"
Πρὸς ἐμὲ δ' αὐτός· "Ὃ γέγραφ' ἔστι δῆλον,
„Κοὐδαμῶς οὗτοι ψεύσονται τῶν ἐλπίδων,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Εἰ σκέπτεταί τις σὺν ὑγιεῖ φρονήσει·
„Ἡ γὰρ ὕψιστος κρίσις οὐ ταπεινοῦται,
„Ὡς ἐν ἀκαρεῖ τοῦ πυρὸς τῆς ἀγάπης
„Ἐκπληροῦντος ὅ πᾶς ὧδ' ὀφείλει τίνειν.
40 „Ἀλλ' ὅτ' ἀπεφηνάμην τὴν ἐμὴν γνώμην,
„Οὐκ ἐνῆν εὐχαῖς ἐξαγοράζειν πταῖσμα,
„Θεοῦ τῆς δεήσεως ἀφισταμένης.
„Ὄντως ἐν οὕτως ὑψηλῇ προαισθήσει
„Πρόσχες μὴ μένῃς, ἢν μή γέ σοι τοῦτ' εἴπῃ
45 „Ἡ μέσον νοὸς κἀληθείας φῶς οὖσα·
„Οὐκ οἶδ' εἰ νοεῖς· τὴν Βεάτρικα λέγω.
„Αὐτὴν ἐπάνω τῆς κορυφῆς θεάσῃ
„Ὄρους τοῦδ' εὐδαίμονα καὶ μειδιῶσαν."—
"Ὡς τάχιστ'," εἶπον, "ἄγωμεν, φίλ' Ἡγῆτορ·
50 „Οὐ γὰρ ὡς τὸ πρὶν ἤδη κάμνω βαδίζων·
„Καὶ βλέπε, πῶς νῦν τοὖρος ἐπισκιάζει."—
"Προχωρήσομεν ὅλην ἡμέραν τήνδε,
„Ὅσῳ πλέον ἄν," ἐπεῖπε, "δυνηθῶμεν.
„Ἀλλ' ὅλως ἄλλο τὸ πρᾶγμ' ἔστ' ἢ νομίζεις.
55 „Πρὶν ἔλθῃς ἄνω, καὶ στρεφόμενον ὄψει

„Τὸν ἤδη κρυπτόμενον ὑπὸ τῆς ὄχθης,
„Οὗ τὰς ἀκτῖνας ἐπιπροσθεῖν οὐ δύνῃ·
„Ἀλλὰ βλέπ' ἐκεῖ ψυχὴν κειμένην μόνην
„Μεμονωμένην καὶ πρὸς ἡμᾶς ὁρῶσαν,
60 „Ἡ τὴν σύντομον ὁδὸν ἡμᾶς διδάξει."
Ταύτῃ προσῇμεν· Ὦ ψυχὴ Λογγοβάρδα,
Ὡς ἕστηκας ὑψίφρων ὑπέροπτός τε,
Βραδεῖα σεμνή τ' ὀφθαλμῶν τῇ κινήσει!
Οὐδὲν ἡμῖν ἔλεγεν· ἀλλὰ παρεία
65 Ἡμᾶς προβαίνειν, ἀτενίζουσα μόνον,
Οἷόν τις κεκλιμένος ἡσυχῇ λέων.
Ἡγήτωρ δ' ἐμὸς προσήγγισ' ἱκετεύων
Ἡμῖν ἄνοδον τὴν βελτίονα δεῖξαι.
Ἀλλ' αὐτὴ τοὐρωτηθὲν οὐκ ἀπεκρίθη·
70 Περὶ δὲ τῆς πατρίδος ἡμῶν καὶ βίου
Ἠρώτα· καὶ τότ' ἤρξατ' ἐμὸς Προστάτης·
"Μαντύα . . ." Συσταλεῖσα δ' ἡ σκιὰ τότε,
Πρὸς αὐτὸν ἐκ τοῦ μέρους ἔνθ' ἦν ἠγέρθη,
"Ὦ Μαντυανέ," λέγουσ', "εἰμὶ Σορδέλλος
75 Ἐκ σῆς πατρίδος." Ἠσπάζοντό τ' ἀλλήλους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Φεῦ Ἰταλία δούλη, λύπης ἑστία,
Ναῦς ἄνευ κυβερνήτου μέσον θυέλλης,
Οὐκέτ' ἐθνῶν βασιλίς, ἀλλὰ πορνεῖον!
Ὡς ἤκουσεν εὐγενὲς τὸ πνεῦμ' ἐκεῖνο
80 Τὸ γλυκὺ τῆς πατρίδος ὄνομ', ἑτοίμως
Τὸν συμπολίτην ἄσμενον προσεδέχθη·
Καὶ νῦν οἱ ζῶντες ἐν σοὶ πολέμων ἄνευ
Οὐ μένουσ', ἀλλὰ κατατρώγουσ' ἀλλήλους,
Οὓς περικυκλοῖ μία τάφρος, ἓν τεῖχος.
85 Ζήτει, τάλαινα, περὶ τὰς ἠϊόνας
Τῶν σῶν θαλασσῶν, καὶ βλέπ' ἔπειτ' ἐντός σου,
Εἴπερ τι μέρος εἰρήνης ἀπολαύει.
Πρὸς τί χαλινὸν Ἰουστινιανός σοι
Ἐφήρμοσεν, εἰ κενόν ἐστι τὸ σάγμα;
90 Χαλινοῦ χωρὶς ἧττον ἂν εἴη ταῖσχος.
Ὦ λαός, ὃς ὤφειλες εὐπειθὴς εἶναι,
Ἐᾷν τε Καίσαρ' ἕζεσθ' ἐπὶ τὸ σάγμα,
Εἰ καλῶς ἔγνως ὅ, τι Θεός σοι λέγει!
Πῶς σκληραῦχεν ἐγένετ' ἴδε τὸ ζῶον,
95 Ὡς οὐ πλήκτρῳ κολασθέν, ἀφ' οὗ τὴν χεῖρα

Ἐπέθου τὴν σὴν ἐπ' αὐτοῦ τὴν ἡνίαν.
Ἀλβέρτε Τεύτων, ὃς αὐτὸ καταλείπεις,
Ἀδάμαστον κἄγριον γεγονὸς ἤδη,
Ὃν τ' ἐπιβῆναι τὸ σάγμ' αὐτοῦ προσῆκε,
Ἄνωθεν ἐνσκηψάτω δικαία κρίσις
Ἐφ' αἷμα τὸ σόν, οὕτω νέα καὶ δήλη,
Ὥστε σὸν διάδοχον καταπλαγῆναι·
Εἰάσατε γάρ, ἄμφω σὺ καὶ πατήρ σου,
Ἐξ ἀπληστίας μένοντες οἴκαδ', ὅπως
Ἔρημος ὁ τοῦ Κράτους γένηται κῆπος.
Ἐλθὼν θέασαι Μοντέκκους, Καππελλέττους,
Μονάλδους, Φιλιππέσκους, ἀκηδὲς ἄνερ,
Τοὺς μὲν ἐν λύπαις, τοὺς δὲ καραδοκοῦντας.
Ἀπηνές, ἐλθὲ καὶ βλέπε τὰς πιέσεις
Τῶν σῶν εὐγενῶν, καὐτῶν ἰῶ τὰ βλάβη·
Ὄψει τε Σάγκταν Φλῶραν πῶς καλῶς ἄγει.
Ἐλθὲ καὶ βλέπε τὴν σὴν κλαίουσαν Ῥώμην,
Χήραν, μόνην, καλοῦσαν ἦμαρ καὶ νύκτας·
"Καῖσαρ ἐμός, διὰ τί μ' ἐγκαταλείπεις;"
Ἐλθέ, βλέπε, τοὺς λαοὺς ὡς ἀγαπῶνται.

Εἴπερ δ' ἡμᾶς μηδαμῶς ἔχεις δι' οἴκτου,
Αἰσχυνούμενος ἐλθὲ τῇ σῇ γοῦν φήμῃ.
Εἰ δέ γ' ἐμοὶ θεμιτόν, ὦ Ζεῦ Παντάναξ,
Ὃς ὑπὲρ ἡμῶν ἐπὶ γῆς ἐσταυρώθης,
120 Ἀλλαχοῦ δικαίους σοὺς ὀφθαλμοὺς τρέπεις;
Ἢ προπαρασκευάζεις ἐν σαῖς ἀβύσσοις
Βουλαῖς δι' ἡμᾶς σωτήριόν τι τέλος,
Ὅλως τὴν ἡμῶν κατάληψιν ἐκφεῦγον;
Πᾶσαι γὰρ Ἰταλίας αἱ χῶραι πλήρεις
125 Εἰσὶ τυράννων, καὶ γίνεται Μαρκέλλος
Πᾶς φαῦλος, ὃς ἂν ἔρχηται στασιάσων.
Φλωρεντία μου, δοκεῖ μοι δεῖν σε χαίρειν
Ἐπὶ παρεκβάσει τῇδ', ἣ πρός σ' οὐ τείνει,
Χάρις τῇ τοῦ σοῦ σοφοῦ λαοῦ συνέσει.
130 Πολλοὶ δικαιοσύνην ἔχουσ' ἐν στέρνοις·
Πλὴν βραδεῖς ὁρμῶσ' εἰς τὴν τοῦ σκοποῦ σκέψιν·
Ἀλλ' ὁ σὸς λαὸς ἀνὰ στόμ' αὐτὴν ἔχει.
Πολλοὶ τὰς δημοσίας ἀρχὰς ἀρνοῦνται.
Ἀλλ' ὁ σὸς λαὸς ἀποκρίνεται, σπεύδων
135 Ἀκλητὶ καὶ κραυγάζων· "Δέχομ' ἀσμένως."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἔσο γοῦν εὔφρων· ἄξιον γάρ σοι τοῦτο.
Σὺν σοὶ σύνεσις, σοὶ πλοῦτος, σοὶ τ' εἰρήνη.
Λέγω τἀληθές, ὃ τὰ πράγματ' οὐ κρύπτει.
Ἀθῆναι, Λακεδαίμων, αἳ τοὺς ἀρχαίους
140 Ἔθεντο νόμους, εὖ πεπολιτευμέναι,
Μικρὰν τῆς εὐζωΐας ἔλαβον πεῖραν
Ὡς πρὸς σέ· καὶ γὰρ τοσοῦτον λεπτοὺς ἔθου
Θεσμούς, ὥστ' εἰς τὰ μέσα τοῦ Νοεμβρίου
Οὐχ ἱκνεῖθ' ὅ, τι κλώθεις ἐν Ὀκτωβρίῳ.
145 Ποσάκις ἐν χρόνοις, ὧν δεῖ σε μεμνῆσθαι,
Νόμους, νομίσματ', ἀξιώματά τ' ἔθη
Σὺ μετήλλαξας, κἀνενέωσας μέλη.
Εἰ δὲ καλῶς μέμνησαι, καὶ τὸ φῶς βλέπεις,
Ὄψει σεαυτὴν ὁμοίαν ἀσθενούσῃ,
150 Μὴ δυναμένῃ στάσιν εὑρεῖν ἐν πτίλοις,
Ἀλλὰ συστροφαῖς τἆχος ἀμυνομένῃ.

ΩΔΗ Ζ'.

Ἡ εὐανθὴς κοιλὰς τῶν Ἀνάκτων.

Ἐπεὶ δ' ἔντιμοι καὶ φαιδραὶ δεξιώσεις
Αἵδ' ἐπανελήφθησαν τρὶς καὶ τετράκις,
Διαστάς· "Τίνες ἐστέ;" Σορδέλλος εἶπε.—
"Πρὶν ὅρος τόδ' ὁρισθῇ ταῖς ψυχαῖς, ὅσαι
5 ,,Εἰσὶν ἄξιαι τῆς πρὸς θεὸν ἀνόδου,
,,Ἣν ὀστᾶ μου τεθαμμέν' ὑπ' Ὀκαυΐου.
,,Βιργίλιος εἰμ' ἐγώ· κοὐκ ἄλλο πταῖσμα
,,Στερεῖ μ' οὐρανῶν ἢ τὸ μὴ πίστιν ἔχειν."
Οὕτω τότ' ἀπεκρίνατ' ἐμὸς Ἡγήτωρ.
10 Ὡς δ' ὁ βλέπων τι πρὸ τῶν ὀμμάτων αἴφνης,
Ἐφ' ᾧ θαυμάζων πιστεύει κοὐ πιστεύει,
Καθ' αὑτὸν λέγων· "Ἆρ' ἔστιν; ἆρ' οὐκ ἔστιν;"
Οὕτως ἐφάνη κεῖνος· εἶτα δὲ κλίνας
Τὰς ὄψεις αἰδοῖ πρὸς αὐτὸν ἐπανῆλθεν,
15 Ἡσπάζετό τ' ἔνθ' ἥττονες προσκυνοῦσιν.
"Ὦ δόξα τῶν Λατίνων," εἶπε, "δι' οὗπερ

,,Τί ποτ' ἠδύνατ' ἔδειξ' ἡμῶν ἡ γλῶσσα·
,,Κλέος ἄφθιτον ἐμῆς πατρῴας χώρας,
,,Οἵαν μοι τιμὴν δείκνυς, οἵαν τε χάριν!
,,Εἰ τῶν σῶν λόγων ἄξιος εἶμ' ἀκούειν,
,,Φράσον, ἥκεις ἐξ Ἅδου, καὶ τίνος κύκλου;"—
"Ἅπαντας τοῦ γοεροῦ Κράτους τοὺς κύκλους,"
Ἀπεκρίθη, "διελθών, ὧδ' ἀφικόμην.
,,Ἦλθον κινηθεὶς οὐρανίᾳ δυνάμει.
,,Ἀπώλεσ', οὐχ ὡς πράξας, ἀλλ' ὡς οὐ πράξας,
,,Ἡλίου θείου θέαν, ἧς πόθον ἔχεις,
,,Ὡς ὀψὲ γνωστοῦ πρὸς ἐμὲ γενομένου.
,,Ἔστ' ἐκεῖ κάτω τόπος οὐκ ἐκ βασάνων
,,Λυπηρός, ἀλλ' ἐκ σκότους· ἐκεῖ δ' οἱ θρῆνοι
,,Οὐκ ἠχοῦσι γοερῶς, ἀλλ' εἰσὶ στόνοι.
,,Ἐκεῖ δὴ μένω σὺν νηπίοις ἀθώοις
,,Δηχθεῖσι σκληρῶς ὀδοῦσι τοῦ θανάτου,
,,Πρὶν ἐκπλυθῶσι πταίσματος ἀνθρωπίνου.
,,Ἐκεῖ δὴ μένω σὺν τοῖς μὴ τὰς τρεῖς θείας
,,Ἐνδυθεῖσιν ἀρετάς, κακιῶν δ' ἄνευ
,,Γνοῦσι τὰς ἄλλας, καὶ τηροῦσιν ἁπάσας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ἀλλ' εἴγ' οἶδας καὶ δύνῃ, νῦν ἡμῖν δεῖξον,
„Πῶς ἂν τάχιον δυναίμεθ' ἀφικέσθαι
„Τὴν εὐθεῖαν εἴσοδον Καθαρτηρίου."—
"Οὐχ ὥριστ'," ἀπεκρίθη, "βέβαιος τόπος.
„Ἰέναι μοι θεμιτὸν ἄνω καὶ πέριξ.
„Ὁδηγήσω σε, καθ' ὅσον ἔξεστί μοι.
„Ἀλλ' ἴδε τὴν ἡμέραν κλίνουσαν ἤδη·
„Ἄνω δ' ἰέναι νύκτωρ οὐ δύναταί τις·
„Διὸ περὶ προσφόρου σταθμοῦ σκεπτέον.
„Ὧδ' ἐκ δεξιῶν ψυχαὶ μένουσ' ἰδίᾳ·
„Εἴ μοι συναινεῖς, πρὸς αὐτάς σ' ὁδηγήσω,
„Κοὐκ ἀχαρίτως γνωσταὶ γενήσονταί σοι."
Ἀπεκρίθη· "Πῶς τοῦτο; βουλόμενός τις
„Νυκτὸς ἀναβῆν' ἐμποδισθήσετ' ἆρα
„Ὑπ' ἄλλων; ἢ τόδ' αὐτῷ ποιεῖν οὐκ ἔνι;"
Σκορδέλλος δ' ἐχάραξε τὴν γῆν δακτύλῳ,
Λέγων· "Βλέπε, τὴν γραμμὴν ταυτηνὶ μόνην
„Οὐ διελεύσει μετὰ δύσιν ἡλίου.
„Οὐκ ἔστιν ὅμως ἄλλο τι τὸ κωλύον
„Τὴν ἀνάβασιν ἢ τὸ τῆς νυκτὸς σκότος·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Τοῦτ' ἀδύνατον τὴν θέλησιν παρέχει.
,,Δι' αὐτοῦ κάτω δυνατὸν ἐπιστρέψαι
,,Καὶ περιελθεῖν κύκλῳ τῆς παραλίας,
60 ,,Ἐφ' ὅσον τὴν ἡμέραν ὁρίζων κρύπτει."
Τότε Προστάτης ἐμὸς ὡσεὶ θαυμάζων,
"Ἄγ' ἡμᾶς," εἶπε, "τοίνυν ἔνθα περ λέγεις
,,Ὡς εὐαρέστως ἔξεστι παραμεῖναι."
Μικρὸν δ' ἐκεῖθεν ἀφεστηκότες ἦμεν,
65 Ὅτε τοῦρος κατεῖδον ὀρωρυγμένον,
Ὃν τρόπον εἰσὶ παρ' ἡμῖν αἱ κοιλάδες.
"Πορευσόμεθα," τὸ πνεῦμ' εἶπεν, "ἐκεῖσε,
,,Ἔνθα σχηματίζεται τοῦρος εἰς ἄγκος,
,,Κἀκεῖ τὴν νέαν προσμενοῦμεν ἡμέραν."
70 Ἀτραπὸς λοξὴ μέσον κρημνοῦ καὶ πέδου
Ἣν ἄγουσ' ἡμᾶς πρὸς πλευρὰν τῆς κοιλάδος,
Ἔνθ' ἦν ἡ κλιτὺς λειοτέρα τοῦ μέσου.
Χρυσός, ἄργυρος, ψιμύθιον, πορφύρα,
Ξύλον Ἰνδικὸν στιλπνὸν καὶ περιλάμπον,
75 Σμάραγδος εὔχρως καθ' ἣν στιγμὴν συνθλᾶται,
Συγκρινόμενα τοῖς ἄνθεσι καὶ χόρτοις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τοῖς οὖσιν ἐκεῖ, νενικημέν' ἂν εἴη,
Καθὼς ὑπὸ μείζονος ἧττον νικᾶται.
Οὐ μόνον ἐκεῖ 'ζωγράφησεν ἡ φύσις,
80 'Αλλ' εὐωδίαις μυρίων ἀρωμάτων
'Απετέλει μίγμ' ἀνέκφραστον καὶ νέον.
"Χαῖρε Βασιλίς," ἐπὶ χλόης κἀνθέων
'Αδούσας εἶδον ψυχὰς συγκαθημένας,
Ὧν ἐκώλυ' ἡ κοιλὰς τὴν ἐκτὸς θέαν.
85 "Πρὶν ἢ πάμπαν τὸ λοιπὸν ἡλίου δύσῃ,"
Ὁ Μαντυανὸς ὁδηγῶν ἡμᾶς εἶπε,
"Μὴ θέλετ' ἄγειν ὑμᾶς πρὸς ψυχὰς κείνας.
,,Κάλλιον ἐξ ὕψους τοῦδ' ἁπάντων τούτων
,,Τά τε πρόσωπα γνώσεσθε καὶ τὸ σχῆμα,
90 ,,Ἡ κάτω μέσον αὐτῶν ἐν τῇ κοιλάδι.
,,Ὁ καθήμενος ἀνωτέρω δοκῶν τε
,,Ἃ ποιεῖν αὐτὸν ἐχρῆν ἠμεληκέναι,
,,Καὶ τοῖς ἄλλων ᾄσμασι στόμ' οὐκ ἀνοίγων,
,,Ῥουδόλφος ἐστὶν Αὐτοκράτωρ, ὃς εἶχε
95 ,,Τραύματ' ἰᾶσθαι νεκρώσαντ' Ἰταλίαν,
,,Ὑπ' ἄλλων βραδύτερον ἀνισταμένην.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ὁ δ' ἄλλος, δοκῶν αὐτὸν παραμυθεῖσθαι,
„Χώρας ἦρξ', ὅθεν βρύει ῥεῖθρον, ὃ φέρει
„Εἰς Ἄλβιν Μούλδα κεἰς ὠκεανὸν Ἄλβις.
„Ὀττόκορος τοὔνομα, κἀν τοῖς σπαργάνοις
„Ὧν πολλῷ κρείττων ἢ παῖς αὐτοῦ Βεγκέσλας
„Πωγωνίτης, ζῶν ἐν τρυφαῖς κἀεργίᾳ.
„Ὁ δὲ μακρόῤῥιν, ὁ δοκῶν προσηγόρως
„Συνομιλεῖν τῷ πρᾷον ἔχοντι σχῆμα,
„Τέθνηκε φεύγων καὶ μαραίνων τὸ κρίνον·
„Βλέπετ' ἐκεῖθι πῶς τύπτεται τὸ στῆθος·
„Καὶ τον ἄλλον, ὃς στενάζων τὴν παλάμην
„Πρὸς τὴν παρειὰν ἐποιήσατο κοίτην.
„Πατὴρ πενθερός τ' εἰσ' ὀλετῆρος Γάλλων·
„Οἴδασι τούτου φαῦλον αἰσχρόν τε βίον,
„Ἔνθεν ἡ βαθεῖ' αὐτῶν προκύπτει λύπη.
„Ὁ δοκῶν δ' οὕτω πιμελής, καὶ συμφώνως
„Ἅδων τῷ τὴν ἀνδρικὴν ἔχοντι ῥῖνα,
„Ἐζώσθη πασῶν τῶν ἀρετῶν τὸν σχοῖνον.
„Εἰ δὲ μετ' αὐτὸν βασιλεὺς ἔμεν' οὗτος
„Ὁ καθήμενος μεῖραξ ὄπισθ', ἐκ σκεύους

,,Ἀρετὴ μετέβαιν' ἂν καλῶς εἰς σκεῦος,
,,Ὃ περὶ γόνων ἄλλων οὐκ ἄν τις εἴποι.
,,Βασιλεύουσ' Ἰακὼβ καὶ Φρεδερίκος·
,,Ἀλλ' οὐδέτερος ἔσχε τὴν κρείττω μοῖραν.
,,Σπανίως φύετ' ἐν κλάδοις ἀνθρωπίνη
,,Χρηστότης· καὶ γὰρ οὕτως ὁ διδοὺς θέλει,
,,Ὅπως αὕτη παρ' αὐτοῦ μόνον ζητῆται.
,,Κεῖς τὸν παχύῤῥιν' ὁ λόγος ἐμὸς τείνει
,,Οὐχ ἧττον ἢ Πέτρον, ὃς αὐτῷ συνᾴδει,
,,Δι' ὅνπερ πενθεῖ Ναρβωνὶς κ' Ἀπουλία.
,,Τόσον τὸ φυτὸν ἐξέπεσ' εἰς τὸ σπέρμα,
,,Ὅσον Μαργαροῦς καὶ Βεάτρικος μᾶλλον
,,Ἔτι συζύγῳ καυχᾶται Κωνσταντία.
,,Βλέπετ' ἐκεῖ βασιλέ' ἁπλοῦν τὸν βίον
,,Μένοντα μόνον, Ἐῤῥῖκον τῆς Ἀγγλίας.
,,Οὗτος ἔσχ' ἐν τοῖς βλαστοῖς καρπὸν βελτίω.
,,Ὁ δὲ μετ' αὐτὸν κάτω κείμενος κἄνω
,,Προσβλέπων ἐστὶ Μαρκίων Γουλιέλμος,
,,Δι' ὃν πόλεμος κ' Ἀλεξάνδρεια κλαίειν
,,Ποιεῖ Καπινίτιον καὶ Μομφερῥάτον."

ΩΔΗ Η'.

Οἱ φύλακες Ἄγγελοι. — Ὁ Ὄφις. — Νῖνος ὁ Γαλλούρας.—Κορράδος Μαλασπίνης.

Ὥρα τὸν πόθον διεγείρουσ' ἣν ἤδη
Τῶν πλωτήρων, ὧν μαλάσσει τὴν καρδίαν,
Καθ' ἣν ἡμέραν εἶπον τοῖς φίλοις χαῖρε,
Πλήττει τ' ἔρωτι τὸν νέον ὁδοιπόρον,
5 Εἴπερ κώδωνα μακρόθεν ποτ' ἀκούει
Δοκοῦντα κλαίειν τὴν θνήσκουσαν ἡμέραν,
Ὅτε ματαίαν τὴν ἀκοὴν ἠρξάμην
Αἰσθάνεσθαι, καὶ μίαν τῶν ψυχῶν εἶδον
Ὄρθιον, χειρί τ' ἀκουσθῆναι ζητοῦσαν·
10 Ὕψωσεν ἐνώσασα τὰς χεῖρας ἄμφω,
Πρὸς ἀνατολὰς ἐρείδουσα τὰς ὄψεις,
Ὡσεὶ τῷ Θεῷ λέγουσ'· "Οὐ κήδομ' ἄλλου."
"Σὲ πρὸ τοῦ φωτὸς" ἤρξατο ψάλλειν οὕτως

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Εὐσεβῶς καὶ μέλεσιν οὕτω γλυκέσιν,
15 Ὥστ' ἐμαυτοῦ μ' ἐποίησ' ἔξω γενέσθαι.
Αἱ δ' ἄλλαι τότε γλυκέως εὐλαβῶς τε
Συνῇσαν αὐτῇ τὸν ὕμνον κεῖνον ὅλον,
Ἀτενίζουσαι πρὸς τὰς ὕπερθεν σφαίρας.
Πρὸς τἀληθὲς νῦν, Ἀναγνῶστ', ὄψεις τεῖνον·
20 Οὕτω γὰρ λεπτὸς τὰ νῦν ἐστιν ὁ πέπλος,
Ὥστε διορᾷν ἐντὸς ἔστ' εὐχερές σοι.
Τὸν εὐγενῆ σύλλογον εἶδον ἐκεῖνον
Σιγηλὸν εἶτα καὶ βλέποντα πρὸς τἄνω,
Ὠχρόν, ταπεινόν, ὡς περιμένοντά τι.
25 Εἶτ' εἶδον οὐρανόθεν ἥκοντας κάτω
Ἀγγέλους δύο σὺν φλογίναις ῥομφαίαις
Δυοῖν, κολοβαῖς κἀκμῶν ἐστερημέναις.
Στολὰς πρασίνους, ὡς ἀρτιφυῆ φύλλα,
Ἐφόρουν πτεροῖς πρασίνοις σειομένας,
30 Κυμαινομένας τ' ὄπισθεν ἐν ἀέρι.
Ὁ μὲν μικρὸν ἐφ' ἡμᾶς ἐπιπτὰς ἔστη,
Ὁ δὲ κατέβη πρὸς τἀπέναντι μέρος·
Ὥσθ' ὁ σύλλογος ἔμεινεν ἐν τῷ μέσῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Εὖ διέκρινον τὰς ξανθὰς αὐτῶν κόμας·
35 Ἀλλ' εἰς τὰ πρόσωπ' ἠμβλύνετ' ἐμὸν ὄμμα,
Ὡς ὑπερβολαῖς δύναμις ἀσθενοῦται·
"'Εξέρχοντ' ἄμφω τοῦ κολπου τῆς Μαρίας,"
Εἶπε Σορδέλλος, "ὡς φρουροὶ τῆς κοιλάδος,
„Ἕνεκ' ὄφεως τοῦ νῦν ἐλευσομένου."
40 Ἐγὼ δ' οὐκ εἰδὼς διὰ τίνος προσόδου,
Ἀπεῖδον πέριξ, καὶ στενῶς προσηλώθην
Ὅλος πεπηγὼς πιστοῖς ὤμοις Προστάτου.
Ἐπεῖπε δὲ Σορδέλλος· "Νῦν καταβῶμεν
„Ὁμιλήσοντες σκιαῖς μεγάλαις ταῖσδε,
45 „Αἷς ὑμᾶς ἰδεῖν πάνυ χαρίεν ἔσται."
Μόλις βήματα τρία καταβάς, οἶμαι,
Εὑρέθην κάτω, καί μ' εἶδον θεωροῦντα
Τινὰ καὶ βουλόμενόν μ' ἀναγνωρίσαι.
Καιρὸς ἦν, καθ' ὃν ἀὴρ ἐπεσκοτεῖτο,
50 Ἀλλ' οὐχ οὕτως, ὥστε μὴ τὰ μέσον κείνου
Ὀφθαλμῶν κἀμοῦ κείμενα καθορᾶσθαι.
Ἦλθε πρὸς ἐμέ, κἀγὼ πρὸς αὐτὸν ἔβην·
Εὐγενὲς Κριτὰ Νῖνε, πόσον ἐχάρην

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἰδών σ' οὐκ ὄντα μεταξὺ τῶν ἐνόχων.
55 Οὐδεὶς ἐν ἡμῖν ἀσπασμὸς παρελείφθη.
Εἶτ' ἠρώτησε· "Ποσταῖος οὖν ἀφίκου
„Εἰς πόδας τοὔρους διὰ μακρῶν κυμάτων;"—
"Φεῦ! διὰ τόπων γοερῶν," εἶπον, "ἦλθον
„Πρωὶ σήμερον· εἰμὶ δ' ἐν πρώτῳ βίῳ,
60 „Καίτοι γ' ὁδεύων οἰκειοῦμαι θατέρῳ."
Ἀκουσθείσης δὲ τῆς ἀποκρίσεώς μου,
Ὑπεχώρησαν αὐτός τε καὶ Σορδέλλος,
Ὡς ἄνδρες αἴφνης καταληφθέντες θάμβει,
Ὁ μὲν πρὸς Βιργίλιον στραφείς, ὁ δ' ἄλλος
65 Πρός τιν' ἥμενον ἔκραξ'· "Ἄνα, Κορράδε,
„Βλέπε, τί χάρις ἐβουλεύσατο θεία."
Εἶτα στραφεὶς πρὸς ἐμέ· "Πρὸς τῶν χαρίτων,
„Ἃς ὀφείλεις δὴ τῷ Κρύπτοντι τὸ πρῶτον
„Αὐτοῦ Διά τί, τἀνεξέλεγκτον πᾶσιν,
70 „Ὅταν ἦς πέραν τῆς ἀπείρου θαλάσσης,
„Εἰπὲ πρὸς ἐμὴν Ἰωάνναν δεήσεις
„Δι' ἐμὲ πέμπειν ἔνθ' ἀκούοντ' ἀθῶοι.
„Οὐκ οἶμαι μητέρ' αὐτῆς ἀγαπᾷν μ' ἔτι,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Ἐξ οὗ τὰς λευκὰς μετήλλαξε καλύπτρας,
,,Ἃς ποθεῖν τὴν δύστηνον πάλιν προσήκει.
,,Ἐξ αὐτῆς νοεῖν εὐκόλως δύναταί τις,
,,Πόσον γυναικὶ πῦρ ἔρωτος χρονίζει,
,,Εἰ μὴ βλέμμ' ἐπαφή τε συχνῶς ἐξάπτει.
,,Οὐ τάφον οὕτω καλὸν αὐτῇ ποιήσει
,,Ἔχιδν' ἡ 'ν τῷ σήματι Μεδιολάνου,
,,Οἷον Γαλλούρας ἤγειρεν ἂν ἀλέκτωρ."
Οὕτως ἔλεγε, κεχαραγμένον φέρων
Ἐπὶ μετώπου τὸν εὐθύδικον ζῆλον,
Τὸν μετρίως φλεγέθοντ' ἐν τῇ καρδίᾳ.
Πρὸς οὐρανὸν ἔτεινον λάβρως τὰς ὄψεις,
Ἔνθα περ βραδύτερον τἆστρα κινεῖται,
Καθὼς ὁ τροχὸς ἄξονος ἐγγυτέρω.
Ἐμὸς δ' Ἡγήτωρ· "Τέκνον, τί βλέπεις ἄνω;"
Κἀγὼ πρὸς αὐτόν· "Τοὺς τρεῖς λαμπροὺς ἀστέρας
,,Τοὺς τὸν ἐντεῦθεν ἐκφλογίζοντας πόλον."
Πρὸς ἐμὲ δ' αὐτός· "Οἱ τέσσαρες ἀστέρες,
,,Οὓς σὺ πρωΐθεν εἶδες, εἰσ' ἐκεῖ κάτω.
,,Οὗτοι δ' ἀνέβησαν νῦν ἔνθ' ἦσαν κεῖνοι·"

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ὡς δ' ἦν ὁμιλῶν, Σορδέλλος αὐτὸν ἕλκει
95 Πρὸς αὐτὸν λέγων· "Τὸν ἡμέτερον βλέπε
„Ἀντίπαλον 'κεῖ," τῷ δακτύλῳ δεικνύων.
Πρὸς τὸ μέρος, ἔνθ' ὀχυρότητ' οὐκ εἶχεν
Ἡ μικρὰ κοιλάς, ἦν ὄφις αὐτὸς κεῖνος
Ἴσως ὁ δοὺς τὴν πικρὰν ὀπώραν Εὔᾳ.
100 Τὸ κακὸν ἑρπτὸν μέσον πόας κἀνθέων
Ἤρχετ' ἔσθ' ὅτ' ὀπίσω κεφαλὴν στρέφον,
Ῥάχιν τε λεῖχον, ὡς κοσμούμενον ζῶον.
Τοὺς οὐρανίους ἀστερίας οὐκ εἶδον,
Οὔτε πῶς ἀπέπτησαν ἐξειπεῖν ἔχω·
105 Ἀλλ' εἶδον ἀμφοτέρους ἐφιπταμένους.
Ἅμ' αἰσθόμενος τὰ πτερὰ τὸν ἀέρα
Σχίζοντ', ἔφυγ' ὁ Δράκων· οἱ δ' ἀγγελτῆρες
Ἀνυψώθησαν πτήσει βαίνοντες ἴσῃ.
Ἡ σκιὰ δ' ἡ τῷ Κριτῇ προσελθοῦσ', ὅτε
110 Ἐκάλεσ' αὐτήν, διὰ πάσης τῆς πάλης
Κείνης οὐκ ἐπαύσατο προσβλέπουσά με.
"Εἴθ' ἡ λαμπάς, ἣ πρὸς τὸν οὐρανόν σ' ἄγει,
„Τῇ σῇ θελήσει τοσοῦτον κηρὸν εὕροι,

„Ὁπόσου χρῄζεις μέχρις ὕψους ἐγκαύστου,"
115 Ἤρξατο λέγειν. "Εἴγ' ἀληθεῖς εἰδήσεις
„Ἐξ Ἄγκους Μάκρας, ἢ τῆς γείτονος χώρας,
„Ἔχεις, φράσον μοι· μέγας ἐκεῖ γὰρ ἤμην.
"Ὠνομαζόμην Κορράδος Μαλασπίνας,
„Οὐχ ὁ παλαιός, ἀλλ' ἀπόγονος τούτου.
120 „Τὴν πρὸς τοὺς ἐμοὺς ἀγάπην ὧδ' ἁγνίζω."—
"Ὦ! τὰς σὰς χώρας οὐδέποτε διῆλθον,"
Εἶπον· "ἀλλὰ ποῦ τῆς οἰκουμένης πάσης
„Εὐρώπης οὐκ εἶσ' ἐνδόξως ἐγνωσμέναι;
„Ἡ τὸν σὸν οἶκον περιτιμῶσα φήμη
125 „Βοᾷ τοὺς Ἡγεμόνας, βοᾷ τὰς χώρας,
„Ὥστε πᾶς κοὐκέτ' ἰδὼν αὐτὰς γινώσκει.
„Ὄμνυμί σοι δέ, νὴ τὴν ὧδ' ἄνοδόν μου,
„Τὸ σὸν ἔντιμον γένος μήποτ' ὀλέσειν
„Κλέος, ὃ 'δῶκαν αὐτῷ πλοῦτος καὶ σπάθη.
130 „Ἔθει καὶ φύσει τοσοῦτον ὑπερέχει,
„Ὥστ', εἰ καὶ φαῦλος σφάλλετ' ἄρχων τοῦ κόσμου,
„Μόνον εὐοδεῖ κακὴν ὁδὸν ἐκφεύγον."
Πρὸς ἐμὲ δ' αὐτός· "Ἴθι νῦν, πρὶν ἑπτάκις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ἥλιος δύσητ' εἰς ἣν ὁ Κριὸς κοίτην
„Τέσσαρσι ποσὶ σκέπει τε κἀπιβαίνει,
„Ἡ σὴ φιλόφρων αὕτη γνώμη μενέτω
„Ἐν μέσῳ τῆς σῆς κεφαλῆς ἡλωμένη
„Μείζοσιν ἥλοις τῶν ὁμιλιῶν ἄλλων,
„Ἣν μὴ ῥοῦς ἐπίσχηται δικαιοσύνης."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ Θ'.

Ὁ Ἀετός.—Λευκία.—Ἡ Πύλη τοῦ Καθαρτηρίου.

Ἡ τοῦ παλαιοῦ Τιθωνοῦ συνευνέτις
Ἐλευκαίνετ' ἐν ἄκροις ἤδη τῆς Ἕω,
Ἐξιοῦσ' ἐκ τῶν κόλπων γλυκέος φίλου,
Κἀπὶ μετώπου διαλάμπουσα λίθοις
5 Κειμένοις ἐν σχήματι τοῦ ψυχροῦ ζώου,
Ὃ τοὺς ἀνθρώπους διὰ τῆς οὐρᾶς πλήττει·
Ἡ δὲ νὺξ ποιήσασα βήματα δύο
Ἀναβάδην, ἔνθ' ἡμεῖς ἦμεν, ἐπέβη·
Τὸ τρίτον δ' ἔκλιν' ἤδη τὰ πτερὰ κάτω,
10 Ὅτ' ἐγώ, λαχὼν φύσεως Ἀδαμείου,
Ὕπνῳ νικηθείς, ηὐνάσθην ἐπὶ πόας,
Ἔνθ' ἤδη καθήμεθα σύμπαντες πέντε.
Καθ' ἣν ὥραν λυπηροὺς ἄρχεται θρήνους
Κελαδοῦσ' ἡ χελιδὼν περὶ πρωΐαν,
15 Ἴσως τῶν πρώτων συμφορῶν μεμνημένη,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἡ δ' ἡμῶν ψυχὴ μᾶλλον οὖσ' ἐλευθέρα
Σαρκός, καὶ φρεσὶν ἧττον κατεχομένη,
Γίνεται σχεδὸν ἐν ὀπτασίαις θεία,
Ἀετὸν ὁρᾷν ἐδόκει μοι κατ' ὄναρ
Χρυσόχρουν εἰς οὐρανὸν ᾠωρημένον
Πτεροῖς ἀνοικτοῖς, μέλλοντα καταβαίνειν·
Ἐδόκουν τ' εἶναί μ' ἔνθαπερ Γανυμήδης
Τοὺς αὐτοῦ κατέλιπεν ἑταίρους, ὅτε
Εἰς συνέδριον ὕψιστον ἀνηρπάγη.
Ἔλεγον κατ' ἐμαυτόν· "Ἴσως ὧδ' ἥκει
„Καθ' ἕξιν μόνον, ἴσως τε κἀλλαχόθεν
„Οὐκ ἀξιοῖ τοῖς ποσὶν ἄγειν ἐπάνω."
Εἶτ' ἔδοξέ μοι, μικρὸν περιστραφέντα,
Φοβερόν, ὡς κεραυνός, ὁρμῆσαι κάτω,
Ἄνω τε μέχρι τοῦ πυρός μ' ἀναρπάσαι.
Ἐκεῖ δ' ἐδόκουν συγκαίεσθ' ἡμᾶς ἄμφω·
Τὸ φανταστικὸν δὲ πῦρ δεινὸν ἦν οὕτως,
Ὥστ' ἠναγκάσθην ἀνεγερθῆν' ἐξ ὕπνου.
Ὄντως οὐκ ἄλλως Ἀχιλλεὺς ἀφυπνίσθη
Τὰς ὄψεις στρέφων ἀνεῳγμένας πέριξ,

Ἀγνοῶν τ' ἔνθ' ἦν αἴφνης ἐγκαθειργμένος,
Ὅτ' ἐκ Χείρωνος μετήγαγεν εἰς Σκῦρον
Ἡ μήτηρ αὐτὸν ἐν ἀγκάλαις ὑπνοῦντα,
Ὁπόθεν ὑφ' Ἑλλήνων ἔπειτ' ἀπήχθη,
Ἦ 'σκίρτησ' ἐγώ, τάχος ὡς ἐξ ὀμμάτων
Ἔφυγ' ὁ κάρος, καὶ κατωχρίασ' ὅλος,
Ὡς τις ἄνθρωπος ἐκπεπληγμένος φόβῳ.
Πλευρόθεν δ' οὐμὸς Παρήγορος ἦν μόνος·
Ἥλιος δ' ἀνέτειλεν ἤδη πρὸ δύο
Ὡρῶν, καὶ τὴν θάλασσαν ἥμην προσβλέπων.
"Μὴ φοβοῦ," λέγει Δεσπότης ἐμός, "θάῤῥει·
„Εἰς ἀσφαλὲς γὰρ ἀφίγμεθα σημεῖον.
„Μὴ περίστελλ', ἄλλ' εὔρυνον πᾶν σὸν σθένος·
„Εἰς τὸ Καθαρτήριον σὺ γὰρ νῦν ἦλθες.
„Ἴδε τὴν ὀφρύν, ἣ τοῦτ' ἐγκλείει πέριξ.
„Ἴδε τὴν εἴσοδον ἔνθ' ἐστὶ τὸ ῥῆγμα.
„Αὐτίχ', ἅμ' ἕῳ προδρόμῳ τῆς ἡμέρας,
„Ὅτ' ἐν σεαυτῷ καθηῦδεν ἡ ψυχή σου
„Ἐπ' ἀνθέων, οἷς ἡ κοιλὰς ἐκοσμεῖτο,
„Ἦλθε Κυρία λέγουσ'· Εἰμὶ Λουκία,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,Λαβεῖν μ' ἐᾶτε τὸν ὑπνώττοντα τοῦτον·
,Αὐτῷ γὰρ συνεργήσω πρὸς τὴν πορείαν.'
,,Σαρδέλλος ἔμειν', εὐγενεῖς σκιαί τ' ἄλλαι·
,,Ἡ δέ σ' ἀπήγαγ'· ὡς δ' ὑπέφαιν' ἡμέρα,
60 ,,Ἀνῆλθεν ἄνω· κἀγὼ κατ' ἴχνος ταύτης·
,,Ἀπέθετό σ' ὧδ'· ἀλλὰ πρὶν ἔδειξέ μοι
,,Ὄμμασι καλοῖς ἀνοικτὸν πόρον τόνδε·
,,Ἔπειτ' αὐτή τε χ' ὕπνος σύναμ' ἀπῆλθον."
Ὡς ἄνθρωπος, ὃς διστάζων βεβαιοῦται,
65 Καὶ τὸν δισταγμὸν εἰς θάῤῥος μετατρέπει,
Ὅταν τὴν ἀλήθειαν ἀνακαλύψῃ,
Οὕτω μετηλλοιώθην· ὡς δ' ἄφροντίν με
Εἶδεν οὑμὸς Ἡγήτωρ, διὰ τοῦ τείχους
Ἔβη πρὸς τὴν κορυφήν, κἀγὼ κατόπιν.
70 Βλέπ', Ἀναγνῶστα, πῶς ἀνυψῶ τοῦ λόγου
Τὸ θέμα· διὸ καὶ σὺν πλείονι τέχνῃ
Μὴ θαύμαζ' εἴγ' αὐτὸ νῦν ὑποστηρίζω.
Ἐκεῖ προσηγγίσαμεν, ἡμέν τ' ἐν μέρει
Ἔνθεν ἐφαίνετό μοι πρῶτον ὀπή τις
75 Ὁμοία ῥωγμῷ διαιροῦντι τὸ τεῖχος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Πύλην καὶ τρεῖς βαθμίδας ὑπ' αὐτὴν εἶδον
Πρὸς ἀνάβασιν διαφόρων χρωμάτων,
Καὶ πυλωρόν, ὃς οὐδὲν ἔλεγεν ἔτι.
Προσχὼν δ' ὄμμασιν ὡς μάλιστ' αὐτὸν ἔγνων
80 Κεκαθισμένον ἐπὶ βαθμίδος ἄκρας,
Τὴν δ' ὄψιν τοιόνδ', ὥστ' αὐτὴν οὐχ ὑπέστην.
Εἶχε δ' ἐν χειρὶ γεγυμνωμένην σπάθην,
Τοιάσδ' ἀνταναακλῶσαν ἀκτῖνας πρός με,
Ὥστ' ηὔθυνον τὰς ὄψεις συχνάκις μάτην.
85 "Λέγετ' ἐκεῖθεν! ὤ! τί θέλετε;" κράζειν
Ἤρξατο· "ποῦστιν ὑμῶν ὁ ποδηγέτης;
,,Ὁρᾶτε μὴ χωροῦντες πρόσω βλαφθῆτε."—
"Οὐρανόθεν Κυρία, τάδ' αἰσθομένη,"
Ἀπεκρίνατο Προστάτης, "ἡμῖν ἄρτι
90 ,,Εἶπεν· 'ἄπιτ' ἐκεῖσ' ἔνθ' ἐστὶν ἡ πύλη.'"—
"Εἴθ' εὐοδώσαι βήμαθ' ὑμέτερ' αὕτη!"
Ὁ φιλόφρων πυλωρὸς ἀνταπεκρίθη,
"Πρόβητε τοίνυν πρὸς τὰς βαθμίδας τάσδε."
Ἐκεῖθ' ἤλθομεν· ἡ δὲ βαθμὶς ἡ πρώτη
95 Ἦν ἐκ μαρμάρου λευκοῦ στίλβοντος οὕτως,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ὥστ' ἐνέβλεπον ἐμαυτὸν οἷος ἤμην.
Ἡ δευτέρα δ' ἦν χροιᾶς ὑπομελαίνης,
Ἐκ περιτρηχοῦς ἡμικαύστου τε πέτρας,
Κατερρηγμένη κατὰ μῆκος καὶ πλάτος.
Ἡ τρίτη δ', ἥτις ἐπέκειτο τῶν ἄλλων,
Πορφυρίτης πυραυγὴς ἐφαίνετ' εἶναι,
Καθάπερ ἀναβλύζον ἐκ φλεβὸς αἷμα.
Ἐπὶ τῆσδ' ἐπήρειδε τοὺς πόδας ἄμφω
Θεῖος ἄγγελος εἰς τὸν οὐδὸν ἑδρεύων,
Δοκοῦντα λίθον ἀδαμάντινον εἶναι.
Τὰς τρεῖς βαθμίδας ἀσμένως μ' ἀναβῆναι
Εἵλκυσ' ἐμὸς Προστάτης, λέγων μοι· "Ζήτει
„Ταπεινῶς ἵνα τὰ κλεῖθρ' ἡμῖν ἀνοίξῃ."
Εὐσεβῶς προσέπεσον ποσὶν ἁγίοις,
Ἔλεον αἰτῶν, ἵν' ἀνοίξῃ τὴν πύλην·
Ἀλλὰ πρῶτον τρὶς ἔτυψά μου τὸ στῆθος.
Ἑπτά μοι Π διέγραψ' ἐπὶ μετώπου
Τῇ τῆς σπάθης ἀκωκῇ· "Τὰς πληγὰς ταύτας
„Πλύνον ὁπόταν ἔνδον εἰσέλθῃς," λέγων·
Τέφρας ἢ ξηρᾶς γῆς ἐκσκαφείσης τάφρου

Χροιᾷ παραπλησίας ἔφερ' ἐσθῆτας,
Ἐξ ὧν κάτωθεν τρεῖς ἐξήγαγε κλεῖδας,
Τὴν μὲν οὖσαν ἐκ χρυσοῦ, τὴν δ' ἐξ ἀργύρου.
Τῇ λευκῇ πρῶτον, τῇ ξανθῇ δ' εἶτα πάλιν
Τὰ κλεῖθρ' ἤνοιξε πρὸς ἐμὴν θυμηδίαν.
"Ὅταν σφάλληται τῶν κλειδῶν τούτων μία,
,,Οὐ στρεφομένη ῥᾳδίως ἐν τῷ κλείθρῳ,"
Ἡμῖν εἶπ' αὐτός, "ὁ πυλὼν κλειστὸς μένει.
,,Ἡ μὲν μᾶλλον τιμήεσσ' ἔστ', ἀλλὰ μᾶλλον
,,Ἀτέρα, πρὶν ἀνοίξῃ, δεῖτ' εὐτεχνίας,
,,Ἅτε λύουσα τὸ σύναμμ' αὕτη μόνη.
,,Ταύτας μοι 'δῶκε Πέτρος, εἰπών μοι κρεῖττον
,,Σφάλλεσθαι πρὸς τἀνοίγειν ἢ κλειστὰς ἔχειν,
,,Εἴ τις εἰσιὼν ἐμοῖς ποσὶ προσπίπτει."
Εἶτ' ὤθησε τὰς πτύχας ἱερᾶς πύλης,
"Εἰσέλθετ," εἰπών· "ἀλλ' ὑμᾶς γνῶναι δέον
,,Ἔξω 'πιστρέφειν τὸν βλέποντ' εἰς τοὐπίσω."
Ὅτε δ' ἐπὶ τῶν θαιρῶν τῆς σεπτῆς πύλης
Ἐκυλίσθησαν οἱ στρόφιγγες, ἠχοῦντες
Στερεοί τ' ὄντες ἐξ εὐπαγοῦς μετάλλου,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Οὐχ οὕτως ἤχησ', οὐδὲ βρύχουσ' ἦν οὕτως
Ἡ Ταρπηΐα, καθ' ὃν καιρὸν ἀπήχθη
Χρηστὸς Μέτελλος, κενή καταλειφθεῖσα.
Τότ' εἰς τὸν πρῶτον στραφεὶς προσέσχον κρότον·
140 Ἐμοὶ δ' ἐδόκει "Σὲ τὸν Θεὸν αἰνοῦμεν"
Ἀκούειν φωνῇ μικτῇ γλυκεροῖς ἤχοις.
Τοιάνδ' ἐν ἐμοὶ συγκίνησιν ἐποίει
Ὅπερ ἤκουον, οἵαν αἰσθάνεταί τις,
Ὅταν ψάλλοντας σὺν ὀργάνοις ἀκούῃ,
145 Τοτὲ μέν, τοτὲ δ' οὐκ ἐννοῶν τὰς λέξεις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ Ι'.

Ὁ Πρῶτος Κύκλος.—Οἱ Ὑπερήφανοι.—Γεγλυμμένα Παραδείγματα Ταπεινοφροσύνης.—Ἡ Παρθένος Μαρία.—Δαυΐδ.—Τραϊανός.

Ἐπεὶ τὸν οὐδὸν διέβημεν τῆς πύλης,
Ἣν κατίωσεν ὁ ψυχῶν φαῦλος ἔρως,
Ὁ τὴν σκολιὰν ὁδὸν δεικνὺς εὐθεῖαν,
Ἠσθόμην αὐτὴν ἐκ τοῦ κρότου κλεισθεῖσαν.
5 Εἰ δὲ πρὸς αὐτὴν προσέτρεπον τὰς ὄψεις,
Τίν' ἂν εἶχον σφάλματος σκῆψιν ἀξίαν;
Ἀνεβαίνομεν δι' ἐῤῥηγμένης πέτρας,
Ἑλισσομένης νῦν ἔνθεν, νῦν ἐκεῖθεν,
Ὡς τὸ κῦμ', ὅπερ φεύγει καὶ προσπελάζει.
10 "Ὧδ' εὐτεχνίᾳ τινὶ προσήκει χρῆσθαι,
„Προσεγγίζοντας," εἶπεν οὑμὸς Προστάτης,
„Ἔνθεν ἢ 'κεῖθεν, πλευρᾶς ῥεπούσης ἄπο."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τοῦτο δὲ βραδὺ τὸ βῆμ' ἡμῶν ἐποίει
Τοσοῦτον, ὥσθ' ἡ φθινὰς ἤδη Σελήνη
Εἰς ἑὴν κοίτην πάλιν εὐδήσουσ' ἦλθε,
Πρὶν ἡμᾶς τῆς φάραγγος ἔξω γενέσθαι.
Ἀλλ' ἐλεύθεροι κἀναπετεῖς ὅτ' ἦμεν,
Ἔνθαπερ τοῦρος εἰς τοὐπίσω προσνεύει,
Ἐγὼ κεκμηκώς, ἀλλ' ἐν ἀπόροις ἄμφω
Ἐν τῷ βαίνειν, ἔστημεν ἐν ἰσοπέδῳ,
Ὁδῶν ἐν ἐρημίαις ἐρημοτέρῳ.
Ἀπὸ τῆς ὁριζούσης τὸ χάος ἄκρας
Ἄχρι τῶν ποδῶν τῆς ὑψουμένης ὄχθης,
Ἀνθρώπινον τρὶς ἂν ἐξεμέτρει σῶμα.
Ἐφ' ὅσον τ' ἠδυνάμην τείνειν τὸ βλέμμα
Πρὸς τἀριστερὸν ἢ τὸ δεξιὸν μέρος,
Ἴση τὸ πλάτος ἡ κορωνὶς ἐδόκει.
Οὔπω τοὺς πόδας ἐκινήσαμεν ἄνω,
Ὅτε τὴν πέριξ εἶδον ὄχθην ἐκείνην,
Ἡ τὴν ἄνοδον ἀπροσέλευστον εἶχεν,
Εἶν' ἐκ μαρμάρου λευκοῦ καὶ κοσμουμένου
Γλυφαῖς τοιαῖσδ', ὥστ' οὐ μόνον Πολυκλείτου,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἀλλὰ φύσεως αὐτῆς κρείττους ἂν εἴποις.
Ἄγγελος ὁ τὴν βουλὴν εἰς γῆν κομίσας
35 Εἰρήνης κλαυθμοῖς πρὸ πολλοῦ ποθουμένης,
Τῆς δηρὸν κλειστοὺς οὐρανοὺς ἀνοιξάσης,
Ἄντην ἡμῶν ἐφαίνετ' ἀληθὴς οὕτως,
Γεγλυμμένος τ' ἐν τοιᾷδ' ἀγανῇ στάσει,
Ὥστ' εἰκὼν ἡμῖν οὐκ ἐδόκει σιγῶσα·
40 Καί τις ἂν ὀμόσειε φθέγγεσθαι: "Χαῖρε."
Ἐκεῖ γὰρ προσέτ' ἦν ἐξεικονισμένη
Ἡ τὴν κλεῖδ' ἀνοίξασα θείας ἀγάπης.
Ἵστατο δ' ἔχουσ' ἔντυπον φράσιν τήνδε:
"Ἰδοὺ θεραπὶς Θεοῦ," νητρεκῶς οὕτως,
45 Ὡς σφραγίζεται σχῆμ' ἐπὶ τοῦ κηρίου.
"Μὴ πρόσχες τὸν νοῦν μόνον πρὸς ἕνα τόπον,"
Εἶπεν ἐμὸς Προστάτης, ὃς ἐγγύς μ' εἶχε
Τῆς πλευρᾶς, ἔνθ' ἔστ' ἀνθρώποις ἡ καρδία.
Τότε τὰς ἐμὰς μικρὸν μετακινήσας
50 Ὄψεις ἔβλεπον, ὕστερον τῆς Μαρίας,
Πρὸς τὸ μέρος ἔνθ' ἵστατ' ἐμὸς Ἡγήτωρ,
Ἄλλην εἰκόνα γλυπτὴν ἐπὶ τῆς πέτρας·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ὑπερβαλὼν γὰρ τὸν Βιργίλιον ἔστην
Ἐγγύς, ὥστε θεατὴν ἐμοὶ γενέσθαι.
Ἦν ἐπὶ ταὐτοῦ μαρμάρου γεγλυμμένα
Ἅρμα καὶ τὴν κιβωτὸν ἕλκοντες βόες,
Φόβον λειτουργοῖς ἐμποιοῦντ' ἀκελεύστοις.
Πρόσθεν εἰς ἑπτὰ χοροὺς διῃρημένον
Ἐφαίνετ' ἀμφοῖν αἰσθήσεσί μου πλῆθος,
Τῇ μὲν "ναί," τῇ δ' "οὐ ψαλμῳδοῦσι" λεγούσαις.
Ὡς πρὸς τὸν καπνὸν ὁμοίως τοῦ λιβάνου
Αὐτόθ' εἰκονισμένον, ἡ ῥὶς καὶ τὼμμα
Περὶ τοῦ ναὶ καὶ τοὐχὶ διημφισβήτουν.
Ὁ ταπεινὸς ψαλμῳδὸς τοῦ σεπτοῦ σκεύους
Προηγεῖτ' ὀρχούμενος ἐκεῖ, καὶ πλέον
Ἥττόν τ' ἄνακτος ἦν ἐν τελετῇ κείνῃ.
Κατ' ὄψιν διάγλυφος ἐπὶ θυρίδος
Λαμπροῦ μεγάρου Μελχὸλ ἔβλεπ' ἐν θάμβει,
Ὡς δέσποιν' ὑπέροπτος καὶ τεθλιμμένη.
Εἶτα προέβην ἐκ μέρους ἔνθ' ἱστάμην
Ὀψόμενος ἐκεῖθεν ἀπείκασμ' ἄλλο,
Ὅ μοι μετὰ τὴν Μελχὸλ λευκὸν παρέστη.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἐκεῖ δ' ἡ λαμπρὰ δόξ' ἣν ἱστορημένη
Τοῦ Ῥωμαίων Ἄνακτος, οὗ μέγα σθένος
Ὥτρυν' εἰς κλυτὴν τὸν Γρηγόριον νίκην·
Τὸν Τραϊανὸν Αὐτοκράτορα λέγω.
Αὐτοῦ τ' ἐφίππου πρὸ τοῦ χαλινοῦ χήρα
Πτωχή τις ἵσταθ' ἐν δάκρυσι καὶ λύπαις.
Περιεκύκλου δ' αὐτὸν πληθὺς ἱππέων,
Ἐπάνωθέν τ' ἀετῶν χρυσῶν σημαῖαι
Ἐκυμαίνοντο τῇ φορᾷ τῶν ἀνέμων.
Τὴν δυστυχῆ δ' ἐν μέσῳ τούτων ἁπάντων
Ἐδόκουν λέγειν· "Ἄναξ, ἐκδίκησόν μου
„Τὸν φονευθέντα παῖδα, καρδιοπλήκτου."
Αὐτὸν δ' ἀποκρίνασθαι· "Πρόσμενε τοίνυν,
„Ἕως ἂν ἐπανέλθω." Τὴν δ', ὡς μητέρα
Ἐκ λύπης οὖσαν ἀκαρτέρητον· "Ἄναξ,
„Ἕως ἂν ἐπανέλθῃς;" Τὸν δ'· "Ὅστις ἔσται
„Ἐνθ' εἰμ' αὐτὸ πράξει σοι." Τὴν δέ· "Τί σοί γε
„Ἀγαθαὶ πράξεις ἄλλων, εἰ σὺ παρίης;"
Τὸν δὲ τέλος· "Θάῤῥει νῦν· καὶ γὰρ προσήκει
„Χρέος ἐμὸν τελέσαι, πρὶν ἂν ἀπέλθω·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Δικαισύνη θέλει, κοῖκτός μ' ἐπέχει."
Ἐκεῖνος, ὅστις οὔποτ' εἶδέ τι νέον,
95 Ἔπλασ' ὁρατὸν τὸν διάλογον τοῦτον,
Νέον ἡμῖν· ἐν γῇ γὰρ εὑρεῖν οὐκ ἔνι.
Ἐν ᾧ δ' ἔγωγε θεωρῶν ἐτερπόμην
Τὰς εἰκόνας τοσούτων ταπεινοτήτων,
Ἄξια θέας ἔργα τοῦ Καλλιτέχνου,
100 "Ἐντεῦθεν βλέπε πολλὰς ψυχὰς βραδέως,"
Ὑπεῖπεν ὁ Ποιητής, "προερχομένας·
„Ἄξουσιν ἡμᾶς εἰς τὰς ἄνω βαθμίδας."
Τοὺς ὀφθαλμοὺς δὲ τοὺς ὁρῶντας ἐκθάμβως
Πόθῳ τ' ἀπλήστῳ καινουργίας τοιαύτας,
105 Εὐθὺ πρὸς αὐτὸν οὐκ ἐβράδυνα στρέψαι.
Οὐ θέλω σ' ἀποτρέψαι νῦν, Ἀναγνῶστα,
Ἀγαθῶν προθέσεων, ἐπειδὰν ἴδῃς
Πῶς χρέους ἀπότισιν Θεὸς ὁρίζει.
Μὴ βλέπε πρὸς τὸν τρόπον τῆς τιμωρίας·
115 Σκέψαι τὴν συνέπειαν, ἄλλως τε σκέψαι,
Ὡς μετὰ τὴν μεγάλην οὐ μενεῖ κρίσιν.
"Προστάτ'," ἠρξάμην, "ὅπερ πρὸς ἡμᾶς βλέπω

„Ἐρχόμενον οὐκ εἴκ' ἀνθρώπους εἶναι·
„Καὶ τί ποτ' ἔστ' ἀγνοῶ κἀπορῶ βλέπων."
115 Πρὸς ἐμὲ δ' αὐτός: "'Η τῆς τούτων βασάνου
„Βαρεῖα φύσις εἰς τὴν γῆν αὐτοὺς κάμπτει,
„Ὥστ' ἦσαν κἀμοὶ δυσθέατοι τὸ πρῶτον.
„Ἀλλ' ἐκεῖ βλέπ' ἀτενές, καὶ διακρίνας
„Ὄμμασι τοὐρχόμενον ὑπὸ τοὺς λίθους
120 „Γνῶναι δυνήσῃ, πόσον πᾶς τις κυρτοῦται."
Ὦ Χριστιανοὶ τάλανες ἀλαζόνες,
Κεκμηκότες, οἱ τὸν νοῦν ἀμβλυωποῦντες,
Καὶ πεποιθότες βήμασι παλινόρσοις,
Οὐκ αἰσθάνεσθε σκώληκας ἡμᾶς ὄντας,
125 Μέλλοντας φύειν τὴν ἀγγελικὴν ψύχην,
Ἡ πρὸς τὸ θεῖον περιίπτατ' ἀόπλως;
Ἐπὶ τίνι γαυριῶσ' ὑμῶν αἱ φρένες;
Ἔντομ' ἐστὶ γὰρ σχεδὸν ἐξημβλωμένα,
Ὡς σκώληκες, οἷς ἡ μόρφωσις ἐλλείπει.
130 Ὡς πρὸς στηριγμὸν ὀροφῆς ἢ δαπέδου,
Ἀντὶ κιόνων, ἔστιν ὅτε τι σχῆμα
Φαίνεται ζευγνὺν τὰ γόνατα τῷ στήθει,

Ὁ δὴ λυπηρὰν ὄντως κἀπεχθῆ θέαν
Παρέχει τῷ βλέποντι, τοιούτους εἶδον
Αὐτοὺς μετὰ προσοχῆς ἐνατενίσας.
Ἦσαν δὲ μᾶλλον ἧττόν τε κεκυφότες,
Ὅσον ἔφερον μᾶλλον ἧττόν τ' ἐπ' ὤμων.
Ὁ δέ γε πλείστην ὑπομονὴν δεικνύων
Ἐδόκει λέγειν κλαίων. "Οὐκ ἔτ' ἀντέχω."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΙΑ΄.

Τὸ Πάτερ ἡμῶν. — Οὐμβέρτος. — Ὀδερίσης ὁ Ἰγουϊέων.—Σαλβάνης Προβιζάνος.

"Ὦ πάτερ ἡμῶν, ὃς ἐν οὐρανοῖς ναίεις,
,,Οὐ περιγραπτός, ἀλλ' ἕνεκ' ἐξαιρέτου
,,Στοργῆς πρὸς τἄνω πρῶτα ποιήματά σου,
,,Ἁγιασθήτω σὸν ὄνομα καὶ κράτος
5 ,,Ὑπὸ κτίσεως πάσης, ὡς ἄξιόν σοι
,,Τῶν θείων ἀπορροιῶν χάριν γινώσκειν.
,,Ἡμῖν ἡ τῆς σῆς βασιλείας εἰρήνη
,,Ἐλθέτω· καὶ γὰρ ἡμεῖς, ἢν μὴ σὺ πέμψῃς,
,,Εἰς τήνδ' οὐκ ἂν ἥκοιμεν σπουδῇ περ πάσῃ.
10 ,,Ὡς σοι τὴν αὑτῶν θέλησιν ἄγγελοί σου
,,Θυσίαν ἄγουσ' Ὡσαννὰ ψαλμῳδοῦντες,
,,Οὕτω τὴν αὑτοῦ πᾶς ἄνθρωπος ἀγέτω.
,,Δὸς ἡμῖν τοὐφήμερον σήμερον Μάννα,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Οὗ δίχα διὰ τῆσδε δεινῆς ἐρήμου
15 „Ὁ μάλα σπεύδων προβῆν' ὀπίσω μένει.
„Ὡς δ' ἀφίεμεν ἥνπερ παρ' ἄλλων βλάβην
„Ὑπέστημεν, οὕτω σύγ' εὐμενῶς ἄφες
„Ἡμῖν, οὐ βλέπων εἰς τὴν ἡμῶν ἀξίαν.
„Ἀρετῆς ἡμῶν, ῥᾳδίως ἡττωμένης,
20 „Μὴ ποιοῦ πεῖραν πρὸς ἐχθρὸν τὸν ἀρχαῖον·
„Ἀλλ' ἡμᾶς ῥῦσαι τοῦ σφόδρ' ἡμᾶς κεντοῦντος.
„Ἐσχάτην τήνδ' αἴτησιν, Δέσποτα φίλε,
„Οὐχ ὑπὲρ ἡμῶν ποιούμεθ'· οὐ γὰρ χρεία·
„Ἀλλ' ὑπὲρ τῶν ὄπισθεν ἡμῶν μεινάντων."
25 Οὕτως ἑαυτοῖς ἡμῖν τε σωτηρίαν
Πνεύματα ταῦτ' εὐχόμεν', ἔβαιν' ὑπ' ἄχθος,
Ὅμοιον τοῖς κατ' ὄναρ ποθ' ὁρωμένοις,
Πιεζόμεν' ἀνίσως κυκλόθεν πάντα
Κἀπὶ τῆς πρώτης καμόντα κορωνίδος,
30 Πρὸς καθαρισμὸν τῆς ἀχλύος τοῦ κόσμου.
Εἰ δι' ἡμᾶς ὧδ' εὐχὰς ἀεὶ ποιοῦνται,
Πῶς ὑπὲρ αὐτῶν οὐ δεῖ λέγειν καὶ πράττειν
Τοὺς τὴν θέλησιν εὔριζον κεκτημένους;

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Βοηθητέον αὐτοῖς πρὸς πλύσιν ῥύπων,
35 Οὓς ἤνεγκαν ἐντεῦθεν, ἵν' ἄνευ σπίλου
Κοῦφοί τ' ἀνέλθωσ' εἰς τὰς ἐνάστρους σφαίρας.
" Εἴθ' ὑμᾶς κουφίσειαν δικαιοσύνη
,, Κοἶκτος εὐθέως, ὅπως ἂν τὴν ὑψοῦσαν
,, Ὑμᾶς πτέρυγα κατὰ πόθον κινῆτε !
40 ,, Ἡμῖν δείξατε, πόθεν συντομωτέρα
,, Ἡ πρὸς τὴν κλίμακ' ἔσθ' ὁδός, κεἰ πορεῖαι
,, Εἰσὶ πλείονες, τίς ἔσθ' ἧττον ἀνάντης·
,, Ὁ γὰρ μετ' ἐμοῦ βαίνων διὰ τὸν φόρτον
,, Ἧς ἐνδέδυται σαρκὸς Ἀδαμιαίας
45 ,, Βραδὺς πρὸς ἀνάβασίν ἐστιν ἀέκων."
Αἱ δ' ἀποκρίσεις αὐτῶν πρὸς τὰ ῥηθέντα
Ὑπὸ προσφιλοῦς ἀνδρός, ᾧπερ εἰπόμην,
Ἡμῖν ἤρχοντο, πλὴν ἠγνοοῦμεν πόθεν.
Ἀλλ' εἶπον· " Πρὸς δεξιὰ διὰ τῆς ὄχθης
50 ,, Εὑρήσετε, μεθ' ἡμῶν ἐλθόντες, πόρον
,, Καλὸν πρὸς ἀνάβασιν ἀνθρώπῳ ζῶντι.
,, Εἰ μὴ δ' ἐκωλυόμην ὑπὸ τοῦ λίθου,
,, Ὃς ὑποζυγοῖ γαῦρον ἐμὸν αὐχένα,

„Βιάζει τε πρὸς τὴν γῆν κλίνειν τὴν ὄψιν,
55 „Εἰς ὃν οὐκ ὀνομάζεις, ἀλλ' ἔτι ζῶντα,
„Ἠτένιζον ἄν, ἔγνων τ' ἂν, εἰ γνωστός μοι,
„Οἰκτείρειν τ' ἐποιούμην τοῦ βάρους τοῦδε.
„Λατῖνός εἰμ', ἔκγονος μεγάλου Τούσκου·
„Ἀλτοβρανδέσκης Γουλέλμος ἦν πατήρ μου·
60 „Οὐκ οἶδ', εἴ ποτ' εἰς ὑμᾶς τόδ' ὄνομ' ἦκε.
„Τἀρχαῖον αἷμα, καὶ περικλεεῖς πράξεις
„Ἐμῶν προγόνων οὕτως ἐξώγκωσάν με,
„Ὥστ' οὐκ ἔχων τὴν κοινὴν ἐν νῷ μητέρα,
„Πλείστην πρὸς πάντας εἶχον, πρὶν ἀποθάνω,
65 „Ὀλιγωρίαν, ὡς ἴσασι Σηναῖοι,
„Καὶ πᾶς ἄνθρωπος ζῶν ἐν Καμπανατίκῳ·
„Οὐμβέρτος εἰμί, κοὐ μόνῳ μοι παρέσχεν
„Ἀλαζονία βλάβην· ἀλλὰ συγγόνους
„Πάντας ἐμοὺς συνέσυρ' εἰς δυστυχίας.
70 „Διὸ δι' αὐτὴν ἐνταῦθ' ὀφείλω φέρειν
„Τόδ' ἄχθος, ἕως Θεὸν ἐξιλεώσω,
„Κἀν νεκροῖς πράττειν τὸ μὴ πραχθὲν ἐν ζῶσιν."
Ἠκροώμην, εἰς τὴν γῆν τὴν ὄψιν νεύσας,

Ὅτε μία τῶν ψυχῶν, οὐχ ἡ λαλοῦσα,
Στραφεῖσ' ὑπὸ τὸ δεινῶς πιέζον ἄχθος,
Εἶδέ μ', ἀνεγνώρισέ μ', ἅμα τ' ἐκάλει,
Ἔχουσ' ἀτενεῖς βαρυθύμως τὰς ὄψεις
Πρός μ' ὅλον κυπτὸν συμβαδίζοντα ταύταις.
"Ὦ!" δὴ τότ' εἶπον, "οὐ σύγ' εἶς Ὀδερίσης,
„Κλέος Ἰγουϊέων, κλέος τῆς τέχνης,
„Ἣν χρωματίζειν καλοῦσ' ἐν Παρισίοις;"—
"Ἀδελφέ, μᾶλλον," εἶπε, "νῦν αἱ διφθέραι
„Λάμπουσ', ἅσπερ ζωγραφεῖ Βονωνὸς Φράγκος·
„Αὐτοῦ τὸ κλέος πᾶν ἔστ', ἐμὸν δ' ἐν μέρει.
„Ἀληθῶς πρόφρων οὐκ ἤμην ὅσον ἔδει,
„Εφ' ὅσον ἔζων, ἕνεκα σφοδροῦ πόθου
„Ὑπεροχῆς, ὃς εἷλεν ἐμὴν καρδίαν.
„Τοιούτου τύφου δίδομεν ὧδε δίκην·
„Οὐδέ γ' ἐνταῦθ' ἂν ἤμην, εἰ μή περ, ἔτι
„Ὢν ἐν τοῖς ζῶσι, πρὸς Θεὸν ἐτρεπόμην.
„Ὦ κενὴ δόξα φύσεως ἀνθρωπίνης,
„Ὡς ἐπὶ τῆς κορυφῆς βραχὺ χλοάζεις,
„Ἄνευ ἐπιῤῥώσεως μακροχρονίου!

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ὥετο Κιμαβούης ἐν ζωγραφίᾳ
„Ἐξέχειν· πλὴν νῦν τεθρύληται Γιῶτος,
„Ἀμαυρωθείσης τῆς πρὶν φήμης ἐκείνου.
„Οὕτως ἄτερος θἀτέρου τῶν Γουΐδων
„Τὴν γλώσσης δόξαν ἀφεῖλε, καὶ τάχ' ἴσως
„Ἔστιν ὃς ἄμφω τῆς φωλεᾶς ἐξώσει.
„Ὁ κοινὸς θρύλλος οὐκ ἔστ' ἢ πνεῦμ' ἀνέμου
„Φυσῶντος νῦν μὲν ἐντεῦθεν, νῦν δ' ἐκεῖθεν,
„Ἀλλάσσον ὄνομ', ὅταν ἀλλάσσῃ θέσιν.
„Τί πλέον φήμης ἕξεις, ἐὰν ἐξέλθῃς
„Τῆς σαρκὸς γεγηρακώς, ἤπερ ἂν θάνῃς
„Ἔτι τραυλίζων βρεφικὰς λέξεις, ἔτη
„Πρὶν παρέλθῃ χίλια; καὶ γὰρ βραχίων
„Ἐστί, πρὸς τἀΐδιον, ῥιπῆς ὀμμάτων
„Ἡ βραδυτάτη περιφορὰ τῶν ἄστρων.
„Ὁ πρόσθεν ἐμοῦ βραδέως ὧδ' ὁδεύων
„Ἀνὰ πᾶσαν Τουσκίαν διεβοήθη·
„Ἀλλὰ νῦν μόλις ψιθυρίζετ' ἐν Σήνῃ,
„Ἧς ἦν κύριος, ἅμα καταπεσούσης
„Τῆς Φλωρεντείου λύσσης, τότ' ἀλαζόνος

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Τοσοῦτον, ὅσον σήμερον χαμαιτύπου.
„Ὑμῶν ἡ φήμη πᾶσ' ἐστι χρῶμα χόρτου
„Φύοντος καὶ θνήσκοντος· ὁ δὲ μαραίνων
„Ἐστὶν ὁ τέρεν' αὐτὸν ἐκ γῆς βλαστάνων."
Κἀγὼ πρὸς αὐτόν· "Τὸ σὸν ἀτρεκὲς λέγειν
„Ταπεινόν με κατέστησ', ὄγκον τ' εὐνάζει.
„Ἀλλὰ τίς ἐστιν, ὅν μοι νῦν ἐπεδείκνυς;"—
"Οὗτός ἐστ'," εἶπε, "Προβιζάνος Σαλβάνης·
„Ἐνταῦθα δ' ἐστίν, ὡς ἐκ τύφου τολμήσας
„Περιλαβεῖν ἐν χερσὶ τὴν Σήνην πᾶσαν.
„Βαδίζει δ' οὕτως ἄνευ παύλης, ἐξ ὅτου
„Ἀπέθανε· μισθὸν γὰρ τοιοῦτον ἔχει
„Ὅστις ἐπαίρετ' ἐπὶ γῆς ἀλαζόνως."—
"Εἴπερ ἡ ψυχή, πρὶν ἢ μετανοήσῃ,
„Προσελθοῦσ'," εἶπον, "εἰς τὸ χεῖλος τοῦ βίου,
„Κάτω 'κεῖ μένει, κἀνθάδ' οὐκ ἀναβαίνει,
„Ἄνευ τῆς βοηθείας εὐχῶν εὐθέτων,
„Μετὰ τοσοῦτον ὅσον ἔζησε χρόνον,
„Πῶς οὖν τῷδ' ἡ τῇδ' ἔλευσις ἐπετράπη;"—
"Ἐφ' ὅσον," εἶπεν, "ἐνδοξότατος ἔζη,

„Αὐτός ποτ' ἐν ἀγορᾷ Σήνης παρέστη
„Ἐκ ταὐτομάτου, καταθεὶς αἰδὼ πᾶσαν,
„Κἀκεῖ τῆς ποινῆς ἵνα σώσῃ τὸν φίλον
„Ἑαυτοῦ πάσχοντ' ἐν εἱρκτῇ τοῦ Καρόλου,
„Ἱκέτευε τοῖς παλμοῖς τῶν φλεβῶν τρέμων.
„Οὐκ ἐρῶ πλέον· οἶδ' ὡς ἀσαφῶς λέγω·
„Ἀλλά σοι μετ' ὀλίγον οἱ γείτονές σου
„Τί ποτ' ἐννοῶ σαφηνίσουσ' ἐμπράκτως.
„Εἰργμοὺς αὐτῷ κατέλυσ' ἡ πρᾶξις αὕτη."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΙΒ'.

Γεγλυμμένα Παραδείγματα Ὑπερηφανείας. — Ἑωσφόρος.—Νεμβρώδης.—Νιόβη, κτξ.— Ἀνάβασις εἰς τὸν Δεύτερον Κύκλον.

Ὡς ὑπὸ ζυγὸν βαδίζουσιν οἱ βόες,
Ἔβαινον ψυχῇ σὺν βαρυθύμῳ κείνῃ,
Ὅσον ἐπέτρεψ' ἐμὸς γλυκὺς Ἡγήτωρ.
Ἀλλ' ὅτ' εἶπ'· "Ἄφες αὐτὴν καὶ χώρει πρόσω·
5 „Δεῖ γὰρ ἕκαστον ὧδ' ἱστίοις καὶ κώπαις
„Ὠθεῖν ὅσον οἷόν τε τὸν αὐτοῦ λέμβον·"
Ἠνώρθωσα τὸ σῶμα, καθά τις πράττει
Μέλλων βαδίζειν, καίτοι περ ἔχων φρένας
Καὶ λογισμοὺς ἐκκλινεῖς καὶ καθειμένους.
10 Ἐκινήθην δή, καὶ βήμασιν εἰπόμην
Ἐθελοντὶ τοῖς τοὐμοῦ Προστάτου, κἄμφω
Ἐδείκνυμεν ὡς ἦμεν κοῦφοι τὸ σῶμα,
Ὅτ' εἶπέ μοι· "Στρέψον νῦν τὰς ὄψεις κάτω·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Πρὸς κουφισμὸν γὰρ τῆς πορείας καλόν σοι
„Βλέπειν τοὔδαφος, ὃ πατοῦσ' οἱ σοὶ πόδες."
Ὥσπερ πρὸς ἀνάμνησιν τῶν τεθνεώτων
Ἐπὶ τῶν τάφων αἱ μαρμάρειοι πλάκες
Δεικνῦσιν ἐπιγραφαῖς, τίνες ποτ' ἦσαν,
Καὶ κλαυθμοὺς ἀποσπῶσιν ὡς ἐκ τῆς λύπης
Καὶ πικρίας, ἣν ἡ τῶν ἐν τάφοις μνήμη
Ἐμποιεῖ μόνον εὐσεβέσι καρδίαις·
Οὕτως εἶδον ἐκεῖ, πλὴν ἐμφερῶς πάντῃ
Καὶ καλλιτέχνως, ἐγγεγλυμμένην πᾶσαν
Τὴν ἐκτὸς τοὔρους ἄγουσαν ἄνω τρίβον.
Ἔβλεπον ἔνθεν τωὐγενέστερον πλάσμα
Ἄλλων πλασμάτων, ἐκ τῶν οὐρανῶν κάτω
Ἑλιγμοῖς τε κἀστραπαῖς κεραυνοῦ πίπτον.
Ἔβλεπον κεῖθεν Βριάρεων τρωθέντα
Βέλει 'ξ οὐρανῶν, κείμενον ἐπὶ γῆς τε,
Τῷ θανασίμῳ βαρυθυμοῦντα πάγῳ·
Ἔβλεπον τὸν Θυμβραῖον, Παλλάδα κ' Ἄρη
Ἐνόπλους ἔτι τοῦ πατρὸς αὐτῶν πέριξ,
Ὁρῶντας τὰ σποράδην μέλη Γιγάντων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἔβλεπον τὸν Νεμβρώδην πρὸς πόδας τοὔργου
Κείνου σχεδὸν ἔκφρονα καὶ καθορῶντα
Τοὺς ἐν Σεναὰρ σὺν αὐτῷ τολμητίας.
Ὦ Νιόβη, δακρύων προσέβλεπόν σε
Γλυπτὴν ἐπὶ τῆς ὁδοῦ, καὶ φονευθέντα
Ἑκατέρωθεν ἔχουσαν ἑπτὰ τέκνα!
Ὦ Σαούλ, ὡς ἐδόκεις ἐπὶ ῥομφαίας
Τῆς σαυτοῦ νεκρὸς ἐν τῷ Γιλβοέ, δρόσον
Οὐδ' ὑετὸν ἔπειτ' οὐκ αἰσθομένῳ.
Ὦ μωρόφρων Ἀράχνη, καί σ' εἶδον ἤδη
Ἡμιαράχνην, ἔλλυπον ἐν λακίσιν
Ὧνπερ ὕφαινες ἐπ' ὀλέθρῳ σου πέπλων!
Ὦ Ῥοβοάμ, οὐκ εἶδον εἰκονισμένον
Ἐκεῖ σ' ἀπειλοῦντ'· ἀλλὰ πλήρη σε φόβου
Ἀπῆγεν ἅρμα, πρὶν ἄλλ' αὐτὸ διώξῃ.
Ἐδείκνυ τὸ στερεὸν ἔδαφος ἔτι
Πῶς Ἀλκμαίων τῇ μητρὶ πικρὰν ἐποίει
Τὴν ἐπίτευξιν κοσμήματος δυσμοίρου.
Ἐδείκνυ τε πῶς οἱ Σενναχηρὶμ παῖδες,
Ἐν ναῷ κατὰ πατρὸς ἐπιπεσόντες,

Ἐκεῖθι κατέλιπον πεφονευμένον.
55 Ἐδείκνυ νίκην καὶ σκληρὰν τιμωρίαν,
Ἃς ἐπραξε Τόμυρις, ὅτ' εἶπε Κύρῳ·
"Αἵματος διψῇς, αἵματός σε κορέσω."
Ἐδείκνυ τε, πῶς ἡττηθεὶς Ἀσσυρίων
Στρατὸς ἔφυγ', ἅμ' Ὀλοφέρνου θανόντος·
60 Τὰ τῆς ἀπηνοῦς σφαγῆς τ' ἐφαίνετ' ἴχνη.
Ἔβλεπον Τροίαν ἐρείπιον κἀν τέφραις.
Ἴλιον, ὤ! πῶς χθαμαλὸν εὐτελές τε
Παρίστη σ' ἡ 'κεῖθ' εἰκὼν ἐγγεγλυμμένη!
Ποῖος γραφίδος ἢ σμίλης καλλιτέχνης
65 Δύναιτ' ἂν εἰκονίζειν σκιὰς καὶ πράξεις
Τὰς πάντα λεπτογνώμον' ἐκεῖ θαμβούσας;
Οἱ νεκροὶ 'δόκουν νεκροί, ζῶντες οἱ ζῶντες.
Ὅστις εἶδε τἀληθὲς οὐκ ἐμοῦ κρεῖττον
Εἶδεν, οἷά τιν' ἐγὼ κύπτων ἐπάτουν.
70 Νῦν γαυριᾶσθε, καὶ κεφαλὴν ὑψοῦτε,
Ὦ παῖδες Εὔας· μὴ κλίνετε τὴν ὄψιν,
Ὥσθ' ἣν κακὴν βαίνετε τρίβον μὴ βλέπειν
Πλέον δὴ τοὔρους ἐβαδίσαμεν πέριξ,

Πλέον θ' ἡλίου κατετρίψαμεν δρόμον,
75 Ἧπερ ἐγὼ σχολάζων τὸν νοῦν ᾠόμην,
Ὅτ' ἐκεῖνος, ὃς ἀεὶ πρόσθεν προσέχων
Ἡγεῖτ', ἤρξατο λέγων· "Κεφαλὴν ἆρον·
,,Οὐκέτι καιρὸς τοῦ βαίνειν κεκυφότα.
,,Ἴδ' ἐκεῖ τὸν ἄγγελον, ὃς ἔσθ' ἑτοῖμος
80 ,,Ἐλθεῖν πρὸς ἡμᾶς· ἴδε τὴν ἕκτην δούλην
,,Τῆς ἡμέρας τὸ ταχθὲν πράξασαν ἤδη.
,,Αἰδήμων ἔσο τὸ σχῆμα καὶ τὴν ὄψιν,
,,Ἵν' ἡμᾶς εὐδοκήσας προαναγάγῃ.
,,Ἴσθι μηκέτι λάμψειν ἡμέραν τήνδε."
85 Οὕτως αὐτοῦ συμβουλῶν ἤμην ἐθήμων
Τοῦ μὴ μάτην χρονίζειν, ὥστ' οὐκ ἐδόκει
Ἐν καιρῷ τοιῷδ' ἀσαφῶς ὁμιλεῖν μοι.
Πρὸς ἡμᾶς τὸ πάγκαλον ἤρχετο πλάσμα,
Λευκόστολον, τὴν ὄψιν δοκοῦν τοιοῦτον,
90 Οἷος πρωϊνὸς ἀστὴρ σπινθηροβόλος.
Βραχίονας ἤνοιξε, πτέρυγάς τ' εἶτα,
"Ἔλθετε," λέγον, "ὧδ' εἰσὶν αἱ βαθμίδες·
,,Ἡ δ' ἄνοδος ἀπὸ τοῦδ' εὐχερὴς ἔσται.

„Εἰς τὴν πρόσκλησιν ταύτην ἔρχοντ' ὀλίγοι:
95 „Ὦ φῦλον ἀνθρώπινον, πρὸς πτῆσιν ἄνω
„Πλασθέν, πῶς οὕτω σμικρῷ πίπτεις ἀνέμῳ;"
Ἤγαγ' ἡμᾶς ἔνθ' ἔκτομος ἦν ἡ πέτρα,
Κἀκεῖ πτέρυξι τοὐμὸν μέτωπον τύψας
Ἀσφαλῆ τὴν πορείαν ὑπέσχετό μοι.
100 Ὡς εἰς τὴν ἐκ δεξιῶν ἄνοδον τοὔρους,
Ἔνθ' ἔσθ' ὁ ναὸς ὁ τὴν εὐνομουμένην
Σκιάζων πόλιν ἄνω τῆς Ῥουβακόντης,
Ἡ τραχεῖ' ἀνάβασις πέπαυται πάντως
Βαθμίσιν ἱδρυθείσαις ἐν χρόνοις, ὅτε
105 Ὑπῆρχ' ἐν ἀπογραφαῖς καὶ μέτροις τάξις·
Οὕτω ταπεινοῦτ' ἐνταῦθ' ὁ κρημνὸς πίπτων
Τραχέως ἐκ θἀτέρου κύκλου, πλὴν ψαύει
Ἑκατέρου τῶν πλευρῶν τῶν ἀνιόντων.
Διερχομένων δ' ἡμῶν στενωπὸν τόνδε,
110 "Μάκαρες πτωχοὶ τῷ πνεύματι" συνῆδον
Φωναὶ γλυκέως, ὥστ' οὐ φράσαιμ' ἂν λόγοις.
Ἆ! ποία διαφορὰ τῶν θυρῶν τούτων
Καὶ τῶν ἐν Ἅδου! καὶ γὰρ ᾄσμασιν ὧδε

Εἰσέρχεταί τις, ἐκεῖ δ' ἀγρίοις γόοις.
115 Ἀνεβαίνομεν διὰ σεπτῶν κλιμάκων
Ἤδη, καὶ κουφότερος ἐδόκουν εἶναι
Ἤπερ ἐπὶ τοῦ κάτω πρὶν ἰσοπέδου.
Εἶπον δὴ τότε· "Τίνος, Προστάτα, βάρους
„Ἀπηλλάγην; σχεδὸν γὰρ ἔγωγ' οὐδένα
120 „Κάματον αἰσθάνομαι βαδίζων ὧδε."
Ὀδ' ἀπεκρίνατ'· "Ἐπὰν τὰ Π τὰ μόλις
„Φαινόμενα νῦν ἐπὶ τοῦ σοῦ προσώπου
„Ὅλως ἐξαλειφθῶσιν, ὥσπερ ἐν τούτων,
„Οἱ σοὶ πόδες ἔσονται πόθῳ τοιοῦτοι,
125 „Ὥστε γ' οὐχ ὅπως αἰσθήσονται καμάτου,
„Ἀλλ' αὐτοῖς χαρτὸν τὸ πρόσω χωρεῖν ἔσται."
Τότ' ἔπραξ' ὥσπερ ὃς καθ' ὁδὸν βαδίζει
Φέρων ἐπὶ κεφαλῆς ἄγνωστον πρᾶγμα,
Ὃ νεύματ' αὐτῷ προσυποδείκνυσ' ἄλλων,
130 Κεἰς βεβαίωσιν τῇ χειρὶ ψηλαφᾶται,
Ζητεῖ θ', εὑρίσκει τ', ἀποτελεῖ τε τοὔργον,
Ὅπερ ὅρασις οὐ δύνατ' ἐκπληρῶσαι·
Καὶ τῆς δεξιᾶς δακτύλοις διεστῶσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Εὗρον μόνον ἓξ ἐκ τῶν γραμμάτων, ἅπερ
135 Ἐμοῖς κροτάφοις ἔστιξεν ὁ κλειδοῦχος·
Ταῦθ' ὁρῶν δ' ἐμειδίασ' οὑμὸς Ἡγήτωρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΙΓ'.

Ὁ Δεύτερος Κύκλος.—Οἱ Φθονεροί.—Σοφία ἡ Σηναία.

Ἐπὶ βαθμίδος ἦμεν δὴ τῆς ἐσχάτης,
Ἔνθ' ἐκ δευτέρου διατέμνεται τοῦρος,
Τὸ τῶν πταισμάτων ἀνιόντας καθαῖρον.
Ἐκεῖ κορωνὶς περιδέει τὸν λόφον,
Ὥσπερ ἡ πρώτη, πλὴν ὅτι βραχυτέραν
Τῆς κατωτέρω τὴν περίμετρον ἔχει.
Οὐ φαίνετ' ἐκεῖ σχῆμ' οὔτ' ἀναγλυφή τις,
Ἀλλ' ὁδὸς κρημνός τ' εἰσὶν εἰκόνων ἄνευ,
Καθάπερ ἡ πελιδνὴ χροιὰ τῆς πέτρας.
"Εἰ προσμένομεν ὡς ὁδηγόν τιν' ὧδε,"
Ἔλεγεν ὁ Ποιητής, "φοβοῦμαι μήπως
„Εἰς τὴν ἐκλογὴν λίαν χρονοτριβῶμεν."
Ὀφθαλμοῖς εἰς ἥλιον ἠτένισ' εἶτα,
Δεξιῷ ποδὶ χρησάμενός θ' ὡς κέντρῳ
Ἐπ' ἀριστερὰ μετήνεγκε τὸ σῶμα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

"Ὦ γλυκύ μοι φῶς! ᾧ πεποιθὼς ἐμβαίνω
„Εἰς' τὴν νέαν πορείαν, σὺ νῦν μ' ὁδήγει,"
Ἔλεγεν, "ὡς ὁδηγοῦ χρῄζομεν ὧδε.
„Σὺ τὸν κόσμον θάλπεις σύ τ' ἐπ' αὐτὸν λάμπεις.
20 „Εἴγε μηδὲν αἴτιον ἀντίκειτ' ἄλλο,
„Ἀεὶ ταῖς σαῖς ἀκτῖσιν ἕπεσθαι δέον."
Ὅσον ἐπὶ γῆς ἐστιν ὀκτασταδίου
Μῆκος, τόσον ἔβημεν ἐκεῖθεν ἤδη
Ἐν βραχεῖ· μέγας ἦν γὰρ ἡμῖν ὁ πόθος.
25 Πρὸς ἡμᾶς ψυχὰς δ' ᾐσθόμεθ' ἱπταμένας,
Ἀλλ' ἀοράτους, λαλούσας κεἰς ἀγάπης
Φιλοφροσύνως τράπεζαν προσκαλούσας.
Ἡ πρώτη φωνὴ διαβαίνουσ' ἐν πτήσει
"Οἶνον οὐκ ἔχουσ'" εἶπε μεγαλοφώνως,
30 Ἡμῶν τ' ὄπισθεν ἐπαναλέγουσ' ἔβη·
Καὶ πρὸ τοῦ κείνην παύσασθ' ἀκουομένην
Ἀπὸ μακρόθεν, ἄλλητις "Εἰμ' Ὀρέστης"
Ἔβη κράζουσ', οὔτ' αὐτὴ μείνασ' ἐπίσης.
"Ὦ πάτερ," εἶπον, "φωναὶ τί ποτ' εἰσ' αὗται;"
35 Ἐμοῦγε δ' ἐρωτῶντος, ἰδού τις τρίτη

Λέγουσα· "Τοὺς βλάψαντας ὑμᾶς φιλεῖτε."
Ὁ δὲ Προστάτης· "Κύκλος ὅδε μαστίζει
,,Τὸ φθόνου πταῖσμα· πλὴν ὅμως ἐξ ἀγάπης
,,Οἱ τῆς μάστιγος ἐπικινοῦνθ' ἱμάντες·
,,Ἀλλ' ἄλλως ἠχεῖν τὸν χαλινὸν προσήκει·
,,Ἀκούσεσθ' οἴομαί σε, κατ' ἐμὴν γνώμην,
,,Πρὶν εἰς τὸν ἀφέσεως τόπον ἀφίκῃ·
,,Ἀλλὰ τὰς ὄψεις ἔρεισον δι' ἀέρος,
,,Καὶ πρόσθεν ἡμῶν ψυχὰς ὀκλαδὸν ὄψει
,,Παρὰ τὸν κρημνὸν ἑκάστην καθημένας."
Τότ' ἀνέῳξ' ὄμματα πλέον ἢ πρῶτον,
Ἔμπροσθέν τ' ἠτένισα, καὶ σκιὰς εἶδον
Ἐν χλαίναις χροιᾶς οὐ διαφόρου πέτρας.
Ἡμῶν δὲ μικρὸν πρόσω προβάντων, κράζειν
Ἤκουον· "Ὑπὲρ ἡμῶν δέου, Μαρία!
,,Μιχαήλ, Πέτρε, δέεσθ' Ἅγιοι Πάντες!"
Οὐκ οἶμαι νῦν ἐπὶ γῆς ἄνθρωπον εἶναι
Οὕτω σκληρόν, ὥστε μὴ κατασχεθῆναι
Οἴκτῳ, θεωροῦνθ' ἃ κατόπισθεν εἶδον.
Ὡς γὰρ ἐγγὺς τῶν ψυχῶν τῶνδ' ἐγενόμην,

Ὥστ' αὐτῶν σαφῶς τὰς μορφὰς εὐκρινῆσαι,
Ἐπράϋνα τὸ βαρὺ δάκρυσιν ἄλγος.
Κιλίκια πενιχρὰ φορεῖν ἐδόκουν,
Ἄλλος ἐπ' ἄλλου στηριζόμενος ὤμων,
60 Κἀπὶ τοῦ κρημνοῦ κατακείμενοι πάντες.
Οὕτως οἱ τυφλοί, παντὸς ἐστερημένοι,
Ἵσταντ' ἔλεον πρὸ τῶν ναῶν αἰτοῦντες,
Ἄλλος ἐπ' ἄλλου τὴν κεφαλὴν στηρίζων,
Ἵνα τοῖς διαβάταις οἶκτος ἐπέλθῃ,
65 Μὴ μόνον ἐκ τῆς ἠχῆς ἀλγεινῶν λόγων,
Ἀλλ' ἐκ τῆς θέας τῆς οὐχ ἧττον κεντούσης.
Ὡς δ' ἥλιος τοῖς τυφλοῖς οὐκ ἀφικνεῖται,
Οὕτω ταῖς σκιαῖς ὧν πέρι νῦν ὡμίλουν,
Οὐράνιον φῶς ἐπιλάμπειν οὐ θέλει·
70 Πάσαις γὰρ τὰ βλέφαρα σιδηρῷ μίτῳ
Ἐῤῥαπται, καθὼς ἱέραξιν ἀγρίοις
Πράττομεν, ἀνημέροις διατελοῦσι·
Βαίνων δ' ἐδόκουν πράττειν ὕβρεως ἔργον,
Ὁρᾷν μὲν ἄλλους, μὴ δ' ὑπ' αὐτῶν ὁρᾶσθαι·
75 Καὶ πρὸς τὸν σοφὸν ἐστράφην σύμβουλόν μου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Νοήσας δ' ὁ σιωπῶν ἔχρῃζον λέγειν,
Οὐκ ἀνέμενεν ἕως ἂν ἐρωτήσω,
'Αλλ' εἶπε· "Λάλει καὶ βραχὺς σαφής τ' ἔσο."
Βιργίλιος μοι προσήρχετ' ἐκ τοῦ μέρους
80 Τῆς κορωνίδος, ἔνθεν περ ἄν τις πίπτοι,
Ἅτε περιφράγματος ἐστερημένου·
Ἑτέρωθεν δὲ σκιὰς εὐσεβεῖς εἶχον,
Διὰ τὴν φρικτὴν συῤῥαφὴν τῶν ὀμμάτων,
Δακρύοις τὰς παρειὰς κατακλυζούσας.
85 Στραφεὶς πρὸς αὐτάς, "Ὦ σκιαὶ πεποιθυῖαι,"
'Ηρξάμην λέγων, "τὸ φῶς ὄψεσθ' ὑψόθεν,
„Κύριον σκοπὸν τῶν ὑμετέρων πόθων,
„Εἴθ' ὡς ἡ χάρις τοὺς ἀφροὺς διαλύσαι
„Συνειδήσεως ὑμῶν, ὥστε καλλίῤῥουν
90 „Τὸ τοῦ νοὸς δι' αὐτῆς ἐκρέειν ῥεῖθρον·
„Εἴπατε, καὶ γὰρ χαρίεν μοι τοῦτ' ἔσται,
„Εἴπερ παρ' ὑμῖν ἐστι ψυχὴ Λατίνη·
„Ἴσως δὲ καλὸν αὐτῇ τόδε μαθεῖν με."—
"'Αδελφέ μου, πᾶς ἡμῶν ἐστι δημότης
95 „Τῆς ἀληθοῦς πόλεως· πυνθάνῃ δ' ἴσως

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Εἰ παροδίτης ἔζησ' ἐν Ἰταλίᾳ."
Τοιάνδ' ἐδόκουν ἀπόκρισιν ἀκούειν
Πορρωτέρω τι τοῦ μέρους ἔνθ' ἱστάμην,
Ὥστ' ἐγγύτερον, ἵν' ἐννοῶ, προέβην.
Εἶδον ἄλλων μεταξὺ σκιὰν δοκοῦσαν
Προσμένειν μ',—εἰ δ' εἰδέναι θέλει τις ὅπως—
Αἴρουσαν ἄνω τὴν γένυν τυφλοῦ δίκην.
"Πνεῦμα, σαυτὸν ταπεινοῦν ἵν' ἀνυψώσῃς,"
Εἶπον, "εἰ σύγ' εἶς, ὃς ἀπεκρίνατό μοι,
,,Φράσον μοι σὸν ὄνομα, σήν τε πατρίδα."—
"Ἤμην Σηναΐς," ἀπεκρίθη, "κἀνταῦθα
,,Σὺν ἄλλοις τοῖσδ' ἔνοχον καθαίρω βίον,
,,Κλαυθμοῖς τὴν Θεοῦ θέαν ἐξαιτουμένη.
,,Σοφὴ δ' οὐκ ἤμην, καίτοι τὸ τῆς Σοφίας
,,Ἔχουσ' ὄνομα, καὶ δεινοῖς ἀλλοτρίοις
,,Ἡ τῇ 'μῇ μᾶλλον ἔχαιρον εὐπραγίᾳ.
,,Ἵνα δὲ μὴ νομίζῃς μ' ἐξαπατᾷν σε,
,,Ἄκουσον ὡς μωρόφρων, ὡς εἶπον, ἤμην.
,,Ἤδη γέφυραν ἐτῶν μου κατιούσης,
,,Ἐγγὺς Κόλλεως ἦσαν οὐμοὶ πολῖται

„Κατὰ τῶν ἐχθρῶν ἐστρατοπεδευμένοι·
„Ἐγὼ δ' ὁ Θεὸς ἠθέλησ' ἐδεόμην.
„Ἡττήθησαν οὖν, εἰς πικρὸν φυγῆς αἶσχος
„Τραπέντες· κἀγὼ τὴν δίωξιν ὁρῶσα,
120 „Χαρᾶς ἐπλήσθην μείζονος πάσης ἄλλης
„Οὕτως, ὥστ' ἀνέτεινα τολμηρὰν ὄψιν
„Πρὸς Θεὸν κράζουσ'. 'Οὐκέτι σε φοβοῦμαι,'
„Ὡς ὁ κόσσυφος ἐν εὐδίᾳ προσκαίρῳ.
„Διαλλαγῆναι Θεῷ πρὸς τὸ τοῦ βίου
125 „Τέρμ' ἠθέλησα, καὶ τοὐμὸν ὄφλημ' ἔτι
„Οὐκ ἔλαττον ἂν εἴη τῇ μετανοίᾳ,
„Εἰ μή με διὰ μνήμης ἐν ταῖς ἁγίαις
„Εἶχ' ἱκεσίαις Πέτρος ὁ Πεττιγνάνος,
„Οἰκτείρας μ' ἐξ ἐλέους καὶ συμπαθείας.
130 „Ἀλλὰ σὺ τίς εἶς, ὃς τὰ καθ' ἡμᾶς βαίνεις
„Διεξετάζων, ἀνοικτάς τ' ὄψεις ἔχεις,
„Ὥσπερ εἰκάζω, καὶ λαλεῖς ἀναπνέων;"—
"Κἀγὼ τὰς ὄψεις," εἶπον, "κλειστὰς ὧδ' ἔξω,
„Ἀλλ' ἐπὶ μικρόν, ὡς μικρὸν ἁμαρτήσας
135 „Ἐν τῷ κινεῖν, ἔτι ζῶν, αὐτὰς σὺν φθόνῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ἀλλὰ μείζων ἔσθ' ὁ φόβος, ὁ κατέχων
„Τὴν ἐμὴν ψυχὴν ἐκ τῆς κάτω βασάνου·
„Ἤδη γὰρ τἆχθος τὸ κεῖθί με βαρύνει."
Ἡ δὲ πρὸς ἐμέ· "Τίς οὖν σ' ὡδήγησ' ὧδε
140 „Παρ' ἡμῖν, εἰ 'πιστρέψαι κάτω νομίζεις;"—
"Ὅδ'," εἶπον, "ὁ μετ' ἐμοῦ καὶ σιγὴν ἔχων.
„Εἰμὶ δὴ ζωός, αἴτησον δέ μ', ὦ πνεῦμα
„Ἐκλεκτόν, εἴπερ βούλει κἀμὲ κινῆσαι
„Ὑπὲρ σοῦ 'κεῖθι κάτω τοὺς θνητοὺς πόδας."—
145 "Ὡς ἀνήκουστον ὃ λέγεις," ἀπεκρίθη,
"Θεοῦ σοι τόδε σημεῖον μέγ' ἀγάπης·
„Διὸ σαῖς εὐχαῖς ἔσθ' ὅτε μοι βοήθει.
„Δέομαί σου γοῦν πρὸς οὗπερ ποθεῖς μᾶλλον,
„Ἤν ποτε τὴν Τουσκίας πατήσῃς χθόνα,
150 „Καλῶς τοῖς ἐμοῖς συγγόνοις μ' ἀναμνῆσαι.
„Αὐτοὺς ἐν κενόφρονι λαῷ ποτ' ὄψει,
„Ὃς εἰς Τελαμῶν' ἐλπίζων ἀστοχήσει
„Πλέον ἢ γ' Ἀρτέμιδος ἀνευρεῖν φρέαρ·
„Ἀλλ' οἱ ναύαρχοι μᾶλλον ψεύσοντ' ἐλπίδων."

ΩΔΗ ΙΔ'.

Γουΐδος Δούκας.—Ῥενιέρης ὁ Καλβόλων.—
Αἱ πατριαὶ τῆς Ῥωμανίας.

"Τίς ἔσθ' ὃς ἡμέτερον διέρχετ' ὄρος,
,,Πρὶν αὐτῷ τὸν θάνατον τὴν πτῆσιν δοῦναι,
,,Κλείων κατ' ἀρέσκειαν ὄψεις κἀνοίγων;
,,Οὐκ οἶδα τίς ἔστ'· ἀλλ' οἶδ' οὐ μόνον ὄντα.
5 ,,Ἐρώτα δὴ σύγ' ὁ μᾶλλον γειτνιάζων,
,,Ἡδέως τ' αὐτόν, ἵνα λαλήσῃ, δέχου."
Οὕτω προσκλινεῖς ἀλλήλαις ψυχαὶ δύο
Ὡμίλουν ἐκ δεξιᾶς ἐκεῖ 'μοῦ πέρι.
Εἶθ' ὡς προσφθεγξόμεναι τὴν ὄψιν ἦραν.
10 Ἀτέρα δ' εἶπεν· "Ὦ ψυχὴ καθειργμένη
,,Ἔτ' ἐν σώματι, πρὸς οὐρανόν τ' ἰοῦσα,
,,Ἡμᾶς ἐξ οἴκτου παρηγόρει, καὶ λέγε,
,,Πόθεν ἥκεις καὶ τίς εἶ· καὶ γὰρ τοσοῦτον
,,Ἧς ἔλαχες χάριτος θαυμάζομέν σε,
15 ,,Ὅσον οὐδεπώποτε θεαθὲν πρᾶγμα."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Κἀγώ· "Διὰ Τουσκίας μικρὸς διήκει
„Ποταμὸς ἀναβλύζων ἐν Φαληρίᾳ
„Ὑπὲρ ἑκατὸν ὀκταστάδια ῥέων,
„Ἐξ οὗ τῶν ὀχθῶν τὸ σῶμα τόδε φέρω·
„Εἰπεῖν τίς εἰμι μάταιος ἔσται λόγος·
„Λίαν γὰρ ἐμὸν ὄνομ' οὐκ ἤχησ' ἔτι."—
"Εἰ καλῶς τὴν σὴν ἐνεβάτευσα φρένα
„Τῇ διανοίᾳ," τότ' ἀπεκρίνατό μοι
Ὁ πρῶτον ὁμιλήσας, "τὸν Ἄρνον λέγεις."
Ὁ δ' ἕτερος εἶπ' αὐτῷ· "Διὰ τί κρύπτει
„Οὗτος τὴν τοῦ ποταμοῦ κλῆσιν ἐκείνου,
„Ὡς τις περὶ φρικωδῶν πράττει πραγμάτων;"
Ἡ σκιὰ δ', ἥντιν' ἠρώτα περὶ τούτου,
Εἶπε τάδ'· "Οὐκ οἶδ'· ἀλλ' ὄνομα τοιᾶσδε
„Κοιλάδος ἐστὶν ἄξιον ἀπολέσθαι.
„Ἐξ ἀρχῆς γὰρ αὐτῆς, ἔνθ' ὑδάτων βρύει
Τἄλπειον ὄρος, οὗ Πύλωρος ἐτμήθη,
„Ὑπερβαινόντων ὀλιγαχοῦ τὴν στάθμην,
„Ἄχρι μέρους ἔνθ' ἀποδίδωσιν ὅπερ
„Ἐκ τῆς θαλάσσης οὐρανὸς ἐξικμάζει,

,,Ὅθεν ποταμοῖς πορίζεται τὸ χεῦμα,
,,Τὴν ἀρετὴν φεύγουσιν ὡς ἐχθρὰν πάντες,
,,Καθάπερ ὄφιν, ἕνεκεν ἀτυχίας
,,Τῆς χώρας, ἢ κρατούσης κακοηθείας·
40 ,,Ὅθεν ἡ φύσις οὕτω μετηλλοιώθη
,,Τῶν κατοικούντων τὴν δύστηνον κοιλάδα,
,,Ὥστ' αὐτοὺς Κίρκην εἰς βοσκὴν δοκεῖν τάξαι.
,,Δι' αἰσχρῶν χοίρων, τροφῆς βαλάνων μᾶλλον
,,Ἀξίων, ἢ πρὸς χρῆσιν ἀνθρώπων ἄλλης,
45 ,,Ὁ ῥοῦς ὀρύσσει πρῶτον τὴν στενὴν κοίτην·
,,Κυνάρι' εἶτα κάτω χωρῶν εὑρίσκει,
,,Αὐθαδέστερα τῆς ἐν αὐτοῖς ἰσχύος,
,,Καὶ περιφρονῶν αὐτοῖς τὰ νῶτα τρέπει·
,,Βαίνει πίπτων, ὅσῳ τε πλέον αὐξάνει,
50 ,,Τόσῳ πλείους εὑρίσκει κύνας ἐν ἤθει
,,Λύκων ἡ κατάρατος κἀτυχὴς τάφρος.
,,Καταβὰς εἶτα διὰ στενῶν βαθέων,
,,Ἀλώπεκας εὑρίσκει δολίας οὕτως,
,,Ὥστ' εἰς παγίδας ἐμπεσεῖν οὐ φοβοῦνται.
55 ,,Λέγων οὐ παύσομ', ὡς ἀκουόντων ἄλλων·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Αὐτῷ καλὸν ἔσετ', ἢν ὠφεληθῆναι
„Δύνητ' ἐξ οὗ μοι πνεῦμ' ἀληθὲς ἐμπνέει.
„Βλέπω τὸν σὸν υἱωνὸν τὸν γεγονότα
„Κυνηγὸν κείνων τῶν λύκων ἐν ταῖς ὄχθαις
„Τοῦ νηλεοῦς ποταμοῦ, κακοῦντα πάντας,
„Πωλοῦντά τ' αὐτῶν τὰς σάρκας ἔτι ζώσας,
„Εἶτ' ὡς γεγηρακότα κτείνοντα κτήνη,
„Πολλοὺς μὲν ζωῆς, τιμῆς δ' αὐτὸν στεροῦντα.
„Αἱμόφυρτος ἕξεισι τοῦ λυπροῦ δάσους,
„Ὃ καταλείπει τοιόνδ' ὥστ' ἐν χιλίοις
„Ἔτεσι τὴν προτέραν οὐχ ἕξει στάσιν."
Ὡς ἐπὶ δεινῶν μελλόντων ἀγγελίᾳ
Ἡ τοῦ ταῦτ' ἀκούοντος ταράσσετ' ὄψις,
Ὅθενπερ ὁ κίνδυνος ἐπαπειλεῖται,
Οὕτως εἶδον τὴν ἄλλην ψυχήν, τὴν ταύτης
Ἀτενῶς ἀκούουσαν, ταρασσομένην
Καὶ λυπουμένην ἐπὶ λόγοις τοιούτοις.
Τῆς μὲν οἱ λόγοι, τῆς δ' ἑτέρας ἡ θέα
Ὀνόματ' αὐτῶν ἐξώτρυνάν με γνῶναι,
Αἴτησίν τ' εὐχαῖς μικτὴν ἐποιησάμην.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τὸ δὲ πνεῦμ', ὅπερ πρῶτον ὡμίλησέ μοι,
Ἤρξατο πάλιν· "Θέλεις σύ με ποιεῖν σοι
,,Τοῦθ', ὅπερ σὺ πρὸς ἐμὲ ποιεῖν οὐ θέλεις·
,,Ἀλλ' ἐπεὶ Θεοῦ τοσαύτη διαλάμπει
80 ,,Ἐπὶ σὲ χάρις, φειδὸς οὐκ ἔσομαί σοι.
,,Ἴσθι τοίνυν ὄντα με Γουΐδον Δούκαν.
,,Οὕτως ἐφλέγετ' ἐμὸν αἷμ' ὑπὸ φθόνου,
,,Ὥστ', εἴ ποτέ τιν' ὀρῴην γεγηθότα,
,,Ἴδοις ἄν μοι τὴν ὄψιν πελιδνουμένην.
85 ,,Τοιᾶσδε σπορᾶς τοιάδ' ἄχυρα δρέπω.
,,Ὦ γένος βροτῶν, πῶς τὴν καρδίαν τίθης
,,Ἐν ἀγαθοῖς, ὧν συγκοινωνεῖν οὐκ ἔνι;
,,Ὅδ' ἐστὶ Ῥινιέρης, τιμὴ καὶ κλέος
,,Τῆς πατριᾶς Καλβόλων, ἐξ ἧς οὐδέπω
90 ,,Ἀνδρείας αὐτοῦ διάδοχος ἐφάνη.
,,Οὐ μόνον γένος γυμνόν ἐστ' αὐτοῦ, μέσον
,,Ὄρους καὶ Πάδου καὶ θαλάσσης καὶ Ῥήνου,
,,Τῶν πρὸς τἀληθὲς καὶ τέρψιν ἀναγκαίων·
,,Ἀλλ' ἐντὸς ὅρων τῶνδε πᾶν ἐστι πλῆρες
95 ,,Φαρμακωδῶν ἀκανθῶν, ἃς ἐκριζῶσαι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Δυσέφικτον τοῦ λοιποῦ δι' ἐργασίας.
,,Ποῦ Λίκιος, Ἀρρίγος Μανάρδης, Πέτρος
,,Ὁ Τραυερσάρος, Γουΐδος τε Καρπίγνας;
,,Ὦ Ῥωμανοί, τὸ γένος νενοθευμένοι!
100 ,,Πότ' ἀναζήσετ' ἐν Βονωνίᾳ Φάβρος;
,,Ἐν Φαυεντίᾳ Βερναρδῖνός τις Φόσκος,
,,Εὐγενὴς βλαστὸς ἐκ πτωχῆς φυεὶς ῥίζης;
,,Μὴ θαύμαζέ μου δακρύοντος, ὦ Τοῦσκε,
,,Ὡς μεμνημένου τοῦ τε Γουΐδου Πράτα,
105 ,,Οὐγολίνου Δάσου θ', ὃς σὺν ἡμῖν ἔζη,
,,Φεδερίγου Τιγνώσου, γένους τε τούτου,
,,Τραυεσάρων τε πατριᾶς κ' Ἀναστίγων,
,,Ἀμφοῖν φυλῶν νῦν ἀμοίρων κληρονόμων.
,,Ἱπποτῶν καὶ δεσποινῶν, σχολῆς κἀγώνων,
110 ,,Ἡμῖν ἔρωτα κομψείαν τ' ἐμπνεόντων,
,,Ἔνθ' αἱ καρδίαι νῦν ἀπέβησαν φαῦλαι.
,,Ὦ Βρεττίνορον, πῶς εἰς φυγὴν οὐ τρέπῃ,
,,Ὥσπερ ἀπέδρα πατριά σου πρωτίστη,
,,Ἄλλοι τε πλεῖστοι πρὸς ἀποχὴν κακίας;
115 ,,Εὖ πράττει Βαγνάκαυλον ἄτεκνον μεῖναν·

„Καστρόκαρον δ' οὐ, Κόνιον δ' ἔτι χεῖρον,
„Τὸ τοιούτους Κόμητας γεννᾷν σπουδάζον.
„Καλῶς Παγάνοι πράξουσ', ὅταν ὁ Δαίμων
„Αὐτῶν ἐκλίπῃ, καίτοι γ' αὐτῶν ἡ μνήμη
120 „Καθαρὰ παντάπασιν οὐδέποτ' ἔσται.
„Οὐγολῖνε Φανόλη, τὸ σὸν ἐμμένει
„Ὄνομ' ἀσφαλές· οὐ γὰρ προσδοκᾷτ' ἔτι
„Ὃς μεταπίπτων τοῦτ' ἂν ἀμαυρὸν θείη.
„Ἀλλ' οὖν ἄπιθι, Τοῦσκε· καὶ γὰρ ἀρέσκει
125 „Κλαίειν μοι μᾶλλον νῦν ἢ λόγους ἐκφέρειν·
„Οὕτως ἡ πατρὶς ἡμῶν φρέν' ἐμὴν θλίβει!"
Ἤδειμεν ὡς αἱ ψυχαὶ προσφιλεῖς κεῖναι
Ἠσθάνοντο βαίνοντας· ἀλλὰ σιγῶσαι
Ἡμᾶς θαῤῥεῖν ἐποίουν ἐν τῇ πορείᾳ.
130 Ἐπεὶ δὲ πρόσω χωροῦντες ἦμεν μόνοι,
Δίκην κεραυνοῦ σχίζοντος τὸν ἀέρα,
Δεινὴ φωνή τις ἐφ' ἡμᾶς ἐξεῤῥάγη,
"Πᾶς εὑρίσκων με," λέγουσ' "ἀποκτενεῖ με,"
Καὶ φεύγουσ,' ὡσεὶ βροντὴ σκεδαννυμένη
135 Καὶ συνταράττουσ' ἐξαπίνης τὰ νέφη.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τῆς φωνῆς δ' ἡμῶν ἀκούειν παυσαμένων,
Ἰδού τις ἄλλη σὺν τοσούτῳ πατάγῳ,
Ὥστε δοκεῖν κεραυνὸν δεύτερον εἶναι·
"Ἄγραυλός εἰμι, μεταβληθεῖσ' εἰς Λίθον."
Τότε δ', ἵνα συσφιχθῶ τῷ 'μῷ Προστάτῃ,
Ἔτειν' οὐ πρόσθεν, ἀλλ' ὀπίσω τὸν πόδα.
Ἤδη δ' αἰθέρος πάντοθεν ἠρεμοῦντος,
Αὐτὸς εἶπέ μοι· "Χαλινὸν σκληρὸν ἔδει
,,Τοιόνδ' ὅρια βροτοῖς ἐπιτιθέναι.
,,Ἀλλ' ὑμᾶς τὸ δέλεαρ δάκνοντας ἕλκει
,,Πρὸς ἑαυτὸν τἄγγιστρον ἐχθροῦ τοῦ πάλαι,
,,Ὥστε χαλινὸς ἢ κέλευσμ' οὐκ ἰσχύει.
,,Ὑμᾶς οὐρανὸς καλεῖ περιοδεύων,
,,Τὰς ἀφθίτους καλλονὰς αὐτοῦ δεικνύων·
,,Ἀλλ' ὄμμαθ' ὑμῶν τὴν γῆν καθορᾷ μόνον·
,,Διὸ μαστίζεσθ' ὑπὸ τοῦ Παντεπόπτου."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΙΕ΄.

Ὁ Τρίτος Κύκλος.—Οἱ ὀργίλοι.—Παραδείγματα Μακροθυμίας.—Ἡ Παρθένος Μαρία.—Πεισίστρατος.—Ἅγιος Στέφανος.

Ὅσον, μεταξὺ τέλους τῆς τρίτης ὥρας
Καὶ τῆς ἡμέρας ἀρχῆς, φαίνεται μέρος
Τῆς σφαίρας δίκην παιδὸς ἀεὶ σκιρτώσης,
Τόσον ἐφαίνετ' ἤδη πρὸς τὴν ἑσπέραν
5 Μεῖναν ἐκ τῆς ἡλίου περιοδείας.
Ἑσπέρα μὲν ἦν ἐκεῖ, νὺξ δ' ὧδε μέση·
Αἱ δ' ἀκτῖνες ἔπληττον ἡμᾶς κατ' ὄψιν,
Περιελθόντας τοῦρος ἐπὶ τοσοῦτον,
Ὥστ' ἐβαίνομεν εὐθὺ πρὸς δυσμὰς ἤδη,
10 Ὅτ' ᾐσθόμην πίπτουσαν κατὰ μετώπου
Φωτεινοτέραν ἢ τὸ πρότερον λάμψιν,
Ἔκπληκτός τ' ἤμην ἀγνοῶν τὴν αἰτίαν.
Διὸ τὰς χεῖρας προσενεγκὼν ἐπάνω
Τῶν ὀφρύων μου σκέπην ἐποιησάμην,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

15 Πρὸς ἐλάττωσιν τῆς προσβαλλούσης αἴγλης.
Ὡς δ' ὅτ' ἐκ πλακὸς ὕδατος ἢ κατόπτρου
Ἡ καταντίον πηδῶσ' ἀκτὶς εἰς τἄνω
Ὑπεράλλεται καθ' ὃν κατῆλθε τρόπον,
Διϊσταμένη κατ' ἀπόστασιν ἴσην
20 Γραμμῆς, ἣν διαγράφει πίπτουσα πέτρα,
Ὡς ἀποδείκνυσ' ἐμπειρία καὶ τέχνη·
Οὕτως ἐκ φωτὸς πρόσθεν ἀντανακλῶντος
Ἐκεῖθ' ἐμαυτὸν ἐδόκουν προσβληθῆναι,
Ἀφ' οὗ ταχέως ἀπέτρεψα τὰς ὄψεις.
25 "Τί τόδε, πρὸς ὃ τὴν ὄψιν, γλυκὺ πάτερ,
,,Οὐ δύναμ', ὅσον ἤθελον, ἀντιτάξαι,"
Εἶπον, "τὸ δοκοῦν ἐφ' ἡμᾶς προσιέναι;"—
"Οὐ δεῖ σε θαυμάζειν, εἴ σ' ἐκπλήττουσ' ἔτι,"
Τότ' ἀπεκρίνατ', "οὐρανῶν ὑπηρέται.
30 ,,Ἄγγελός ἐστι πρὸς ἄνοδον καλέσων.
,,Τοιάδ' αὐτίκα πράγματ' ὄψεσθαι μέλλεις,
,,Οὐ μὴν ἐπαχθῆ, χαρᾶς δὲ πρόξενά σοι,
,,Εὐαισθήτου φύσεως τετυχηκότι."
Ὡς δ' αὐτῷ προσήλθομεν, Ἄγγελος θεῖος

35 Μετὰ χάριτος εἶπεν· "Εἴσιτ' ἐντεῦθεν·
,,Ἰδοὺ κλίμαξ τῶν ἄλλων ἧττον ἀνάντης."
Ἀναβαινόντων ἤδη μακρὰν ἐκεῖθεν
"Μάκαρες ἐλεοῦντες" ᾄδεσθ' ἠκούσθη
Ὄπισθ' ἡμῶν, καί: "Σύγ' ὁ νικῶν εὐφραίνου."
40 Προστάτης δ' ἐμὸς ἔγωγέ τ' ἄμφω μόνοι
Ἀνεβαίνομεν, καὶ βαδίζων ᾠήθην
Αὐτοῦ τῶν λόγων ὠφέλειαν καρποῦσθαι.
Καὶ δὴ πρὸς αὐτὸν στραφεὶς ἠρώτων ὧδε·
"Τί ποτ' ἐνόει τὸ πνεῦμα Ῥωμανίας
45 ,,Φατίζον ὅτι συγκοινωνεῖν οὐκ ἔνι;"
Ὁ δ' εἶπε· "Τῆς μεγίστης αὐτοῦ κακίας
,,Ἔγνω τὴν βλάβην· ὅθεν οὐ δεῖ θαυμάζειν,
,,Εἰ μέμφετ' αὐτήν, ἵν' ἧττον κλαίωσ' ἄλλοι.
,,Εἰ γὰρ ῥέπουσιν οἱ σοὶ πόθοι πρὸς πρᾶγμα
50 ,,Ἐλαττούμενον ἐκ τῆς συγκοινωνίας,
,,Ὁ φθόνος ἐν σοὶ κινεῖ στεναγμῶν αὔραν·
,,Ἀλλ' εἴγ' ὁ σφαίρας τῆς ὑπερτάτης ἔρως
,,Ἐπανέτεινε πρὸς τἄνω τοὺς σοὺς πόθους,
,,Οὐκ ἂν ἦν ψόγου φόβος ἐν τῷ σῷ στήθει.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

55 „Ὅσῳ γάρ τινος πλείους συγκοινωνοῦσι,
„Τόσῳ πλέον τἀγαθοῦ πᾶς ἀπολαύει,
„Πλέον τ' ἀγάπης συγκοινωνοὺς συμφλέγει."—
"Πλείον' εἰς πεποίθησιν ἐμὴν νῦν ἔχω,"
Ἐπεῖπον, " δίψαν ἤγ' εἰ πρὶν ἐσιώπων,
60 „Καὶ μᾶλλον ἐν δισταγμοῖς εἰμὶ τὴν φρένα·
„Πῶς γὰρ δυνατὸν ἀγαθόν, ὅπερ πλείστοις
„Διανέμεται, πλουσίους καθιστάναι
„Αὐτοὺς ἤπερ εἰ κατείχετ' ὑπ' ὀλίγων;"
Ὁ δὲ πρὸς ἐμέ· "Διότι σὺ βυθίζεις
65 „Εἰς πράγματ' ἐπίγεια τὴν φρένα μόνον,
„Ἐξ ἀληθινοῦ φωτὸς σκότος παράγεις.
„Τἄπειρον κἀνέκφραστον ἀγαθὸν κεῖνο,
„Ὑψόθι ναῖον, οὕτω πρὸς τὴν ἀγάπην,
„Καθάπερ ἀκτὶς πρὸς σῶμα στιλπνόν, ῥέπει,
70 „Ἑαυτὸ διδὸν τοῖς πλεῖστ' ἐφιεμένοις,
„Ὅσθ' ὅσον ἐκτείνεται μᾶλλον ἀγάπη,
„Τόσον ἐπ' αὐτῆς ἡ θεία χάρις αὔξει·
„Ὅσῳ τ' ἄνω 'κεῖ πλείους οἱ συμφρονοῦντες,
„Τόσῳ γ' ἔστ' αὐτοῖς τἀγαπᾷν κἀγαπᾶσθαι,

75 „Ὥσθ' ὡς κάτοπτρον ἀντανακλῶντ' ἀλλήλοις.
„Εἰ δὲ μὴ λόγων τῶν ἐμῶν ἐκορέσθης,
„Βεάτρικ' ὄψει, καί σου τελείως αὕτη
„Τόνδ' ἀφαιρήσει πόθον, ἄλλον τε πάντα.
„Σπεῦδε γοῦν ὅπως τάχος ἐξιασθῶσιν
80 „Αἱ πέντε πληγαί, καθὼς αἱ δύο πρῶται
„Αἱ κλειόμεναι διὰ τῆς μετανοίας."
Ἤθελον εἰπεῖν αὐτῷ: "Κατέπεισάς με,"
Ὅτ' ἐμαυτὸν κατεῖδον ἐν ἄλλῳ κύκλῳ,
Ἔνθ' αἱ θολώδεις ὄψεις σιγᾷν μ' ἐποίουν.
85 Ἐκεῖ δ' ἐδόκουν ἀρθέντ' εἰς ὀπτασίαν
Ἐκστατικὴν ἐμαυτὸν ἐξαπιναίως
Ὁρᾷν ἐν ναῷ τινι πληθὺν ἀνθρώπων,
Δέσποιναν δέ τιν' ἐπὶ θύρας ἐν στάσει
Μητρὸς πάνυ γλυκείας λέγουσαν: "Τέκνον,
90 „Τί ἐποίησας ἡμῖν οὕτως· ἰδού γε
„Ὀδυνώμενοι σός τε πατὴρ ἐγώ τε
„Ἐζητοῦμέν σε." Τῆς δ' ὧδε σιγησάσης,
Τὸ πρῶτον τοῦτο διεσκεδάσθη φάσμα.
Ἔπειτ' ἐφάνη μοί τις ἄλλη δακρύων

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

95 Ῥοὰς ἐπὶ παρειῶν ἔχουσ', ἃς λύπη
Ἐκ πλείστης ὀργῆς γεννωμένη προχέει,
Καὶ λέγουσ'· "Εἰ πόλεως ἄρχων εἶ κείνης,
„Ἧς τοὔνομ' ἦν ἐν θεοῖς αἴτιον νείκους,
„Ἐξ ἧσπέρ τε πᾶσ' ἔλαμψεν ἐπιστήμη,
100 „Τιμωρὸς γενοῦ, Πεισίστρατε, τοῦ τόλμῃ
„Τὴν κόρην ἡμῶν ἐναγκαλισαμένου."
Ὁ δ' εὐμενὴς καὶ πρᾷος ἄρχων ἐδόκει
Πρὸς αὐτὴν λέγειν ἐπιεικεῖ προσώπῳ·
"Τί ποιήσομεν τοῖς ἡμῖν δυσνοοῦσιν,
105 „Εἰ τιμωρούμεθ' ἡμῖν φίλα φρονοῦντας;"
Εἶτ' εἶδον πληθὺν ὀργῇ λυσσομανοῦσαν,
Λίθοις τε σκληρῶς κτείνουσαν νεανίαν·
Καί: "Φόνευσον, φόνευσον," καταβοῶσαν·
Αὐτὸν δ' ἔβλεπον ὑπὸ τὸ τοῦ θανάτου
110 Κράτος ὄντ' ἤδη κατὰ γῆς κεκλικότα,
Ἀλλ' εἰς οὐρανὸν ἔχοντ' ἀεὶ τὰς ὄψεις,
Τοῦ Θεοῦ δεόμενον ἐν τῇ βασάνῳ,
Ὅπως αὐτοῖς μὴ στήσῃ τὴν ἁμαρτίαν,
Ἐν ὄψει τοιᾷδ,' ἥπερ εἰς οἶκτον ἄγει.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

115 Τῆς δ' ἐμῆς ψυχῆς ἐπανελθούσης ἔξω
Εἰς τὴν τῶν ἐκτὸς ἀλήθειαν πραγμάτων,
Ἔγνων τότε τὰς ἐμὰς οὐ ψευδεῖς πλάνας.
Ἡγήτωρ δ' ἐμός, ᾧ βεβαίως ἐδόκουν
Ὡς τις ἄνθρωπος ἀνεγερθεὶς ἐξ ὕπνου,
120 Εἶπε· "Τί πάσχεις, οὐ δυνάμενος στῆναι,
,,Ἀλλ' ὑπὲρ ἡμίσειαν προέβης λεύγην
,,Κλειστοῖς ὄμμασι, ποσί τε σφαλλομένοις,
,,Ὡς τις ὑφ' ὕπνου προσκεκυφὼς ἤ τ' οἴνου;"—
"Ὦ γλυκὺ πάτερ, εἴ 'μοῦγ' ἀκοῦσαι βούλει,"
125 Εἶπον, "ἐρῶ σοι τὰ φανέντα μοι πάντα,
,,Ὁπότ' ἤρξατο κάμπτεσθαί μου τὰ σκέλη."
Πρὸς ἐμὲ δ' αὐτός· "Εἴπερ ἑκατὸν ἦσαν
,,Ἐπ' ὄψεώς σου προσωπίδες, οὐδ' οὕτω
,,Σῶν κρυφίων λογισμῶν ἀγνὼς ἂν εἴην.
130 ,,Ὅπερ δ' ἑώρακας ἦν, ἵνα μὴ φεύγῃς
,,Ἀνοίγειν τὴν καρδίαν πρὸς τῆς εἰρήνης
,,Τὸ νᾶμα, πηγῆς ἐκρέον τῆς ἀφθίτου.
,,Οὐκ ἠρώτησα, τί πάσχεις, ὡς ἐκεῖνος,
,,Ὃς βλέπει μόνον ὄμμασιν οὐχ ὁρῶσι

135 „Πάλιν ὁπότ' ἄψυχον τὸ σῶμα κεῖται·
„Ἀλλ' ἠρώτησ', ἵν' ἰσχὺν δῶ τοῖς ποσί σου.
„Οὕτω γὰρ δεῖ ῥᾳθύμους βραδεῖς τ' ὀτρύνειν
„Πρὸς χρόνου χρῆσιν ἐγερθέντας ἐξ ὕπνου."
Πορευομένοις δ' ἑσπέρας, καὶ τὰς ὄψεις
140 Ὅσον οἷόν τ' ἦν ἐπιτείνουσι πρόσω
Πρὸς τὰς ὀψίας καὶ φωτεινὰς ἀκτῖνας,
Ἰδοὺ δὴ κατὰ μικρὸν ἡμῖν ἐφάνη
Καπνός, ὡσεὶ νύξ, ὑψούμενος ζοφώδης,
Ἀφ' οὗ φυλάττεσθ' ἦν ἡμᾶς οὐδαμόθεν·
145 Ὅδ' ἀφείλεθ' ἡμᾶς φῶς ἁγνόν τ' αἰθέρα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΙΣΤ'.

Μάρκος Λογγοβάρδος.—Κοσμικὴ καὶ Πνευματικὴ ἐξουσία τῆς Ῥώμης.

Σκότος Ἅδου καὶ νυκτὸς ἐστερημένης
Πλανήτου παντὸς ὑπ' οὐρανὸν ζοφώδη,
Ὡς μάλιστα νέφεσι κεκαλυμμένης,
Οὐχ οὕτω πυκνὸν πέπλον ἐπέθετό μοι
5 Πρὸ τῆς ὄψεως, ὅσον ὁ περιζώσας
Ἡμᾶς καπνός, οὐδ' οὕτως ἦν νυγματώδης,
Ὥστ' ὄμμα τοὐμὸν οὐκ εἶχ' ἀνοικτὸν στῆναι·
Ἀνθ' ὧν ὁ πιστὸς σοφός τ' ἐμὸς Ἡγήτωρ
Προσπελάσας μοι προέτεινε τὸν ὦμον.
10 Ὡς δ' ὁ τυφλὸς βήμασιν ὁδηγοῦ βαίνει,
Ἵνα μὴ παρεκτραπῇ, μηδὲ προσπταίσῃ
Προσκόμμασιν ὀχληροῖς κἀπικινδύνοις,
Ἔβαινον δι' ἀέρος πυκνοῦ δριμέος,
Ἀκούων Ἡγήτορος ἐμοῦ φωνοῦντος

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

15 Μόνον· "Ὅρα μὴ χωρισθῇς ἀπ' ἐμοῦγε."
Φωνῶν δ' ᾐσθόμην, ἑκάστης μοι δοκούσης
Ὑπὲρ εἰρήνης οἰκτιρμοῦ τε τοῦ Θείου
Δέεσθ' Ἀρνός, ὃς αἴρει τὰς ἁμαρτίας.
"Ἀμνὸς Θεοῦ" δ' ἦν αὐτῶν πρόᾳσμα μόνον·
20 Μία φράσις ἦν πάσαις εὐχή τε μία,
Ὥστ' ἦν ἐν αὐταῖς ἡ συμφωνία πλήρης.
"Πνεύματ' ἆρ' ἐστίν, ὧν ἀκούω, Προστάτα;"
Εἶπον· πρὸς ἐμὲ δ' αὐτός· "Ἀληθῶς ἔφης,
,,Καὶ τοῦ πταίσματος ὀργῆς διδοῦσι δίκην."—
25 "Τίς οὖν εἶ σύγ', ὃς τὸν καπνὸν ἡμῶν σχίζεις,
,,Ἡμῶν τε πέρι λαλεῖς, ὡς εἴπερ ἔτι
,,Διὰ καλανδῶν ἐμέριζες τὸν χρόνον;"
Τοιούσδ' ἐφθέγξατό μοι φωνή τις λόγους·
Ἐμὸς δ' εἶπέ μοι Προστάτης· "Ἀποκρίνου,
30 ,,Ἐρώτα τ', εἰ βαίνοι τις ἐντεῦθεν ἄνω."
Ἐγὼ δ'· "Ὦ πλάσμα, σεαυτὸ καθαρίζον,
,,Ἵνα προσέλθῃς ἁγνὸν τῷ ποιητῇ σου,
,,Εἴ μοι παρέπῃ, θαυμαστά τιν' ἀκούσῃ."—
"Παρέψομαί σοι πάντως, ἐφ' ὅσον θέμις,"

35 Εἶπέ μοι, "κἂν ὁ καπνὸς βλέπεσθ' ἀπείργῃ,
,,Ἐντευξόμεθα δι' ἀκοῆς ἀλλήλοις."
Καὶ τότ' ἠρξάμην· "Ὑπὸ κάλυμμα τόδε,
,,Ὃ λύει θάνατος, νῦν πορεύομ' ἄνω,
,,Διὰ φρικῶν ὧδ' ἐλθὼν καταχθονίων.
40 ,,Εἰ δὲ Θεός, χάριτι περιβαλών με
,,Τοιᾷδε, δόμους ἰδεῖν αὐτοῦ με θέλει
,,Εἰς τρόπον ὅλως, τό γε νῦν, ἀσυνήθη,
,,Μή μοι κρύπτε, τίς ἦσθα πρὸ τοῦ θανάτου,
,,Ἀλλ' εἰπέ μοι, κεἰ πρὸς πόρον καλῶς βαίνω·
45 ,,Οἱ σοὶ γὰρ ἡμᾶς ὁδηγήσουσι λόγοι."—
"Λογγοβάρδος ἦν, ἐκαλούμην τε Μάρκος.
,,Ἔγνων τὸν κόσμον, ἀρετήν τ' ἠσπασάμην,
,,Πρὸς ἣν σήμερον οὐδεὶς ἔτ' ἀποβλέπει.
,,Εὐθεῖαν ὁδὸν πρὸς ἄνοδον βαδίζεις."
50 Ταῦτ' ἀπεκρίνατ' ἐπειπών· "Ἀλλ' αἰτοῦμαι
,,Ὑπὲρ ἐμοῦ δέεσθαί σ' ἀναβάντ' ἄνω."
Κἀγὼ πρὸς αὐτόν· "Ἐνόρκως ὑπισχνοῦμαι
,,Ποιήσειν ὃ κελεύεις· ἀλλ' ἐνοχλεῖ με
,,Ἔνδον δισταγμός, οὗ δεῖ μ' ἀπαλλαγῆναι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

55 „Πρὶν μὲν ἦν ἁπλοῦς, νῦν δ' ἐδιπλασιάσθη
„Ἐκ τῆς σῆς γνώμης, αὖθίς μοι βεβαιούσης
„Ὅπερ ἄλλη τις, ἣν αὐτῇ συνδυάζω.
„Ὄντως ἔρημός ἐστιν ὁ κόσμος ἅπας
„Πάσης ἀρετῆς, ὡς ὀρθῶς ἀποφαίνῃ,
60 „Καὶ κακίας ἔμπλεως καὶ βρύων πάσης·
„Ἀλλ' ἀντιβολῶ σ', εἰπέ μοι τὴν αἰτίαν,
„Ὥστ' αὐτὴν γνῶναι διασαφῆσάι τ' ἄλλοις·
„Ὁ μὲν γὰρ ἐν γῇ τίθησ', ὁ δ' ὑπεράνω."
Βαθὺν στεναγμόν, ὃν ἐτράχυν' ἡ λύπη,
65 Πρῶτον ἀνέπεμψ', εἶτ' ἤρξατ'· "'Αδελφέ μου,
„Ὁ κόσμος τυφλός ἐστιν· ἐκεῖθεν ἥκεις!
„Ὑμεῖς οἱ ζῶντες ἀναφέρετ' αἰτίαν
„Πᾶσαν εἰς τὸν οὐρανόν, ὥσπερ εἰ πάντα
„Ἐκινεῖτ' ἐν ἑαυτοῖς ἐκ τῆς ἀνάγκης.
70 „Εἰ τοῦθ' οὕτως ἦν, τότ' αὐτεξουσιότης
„Οὐκ ἦν ἂν ἡμῖν, οὔτ' ἂν δίκαιον χαίρειν
„Ἐπ' ἀγαθοῖς μέν, ἐν δὲ κακοῖς λυπεῖσθαι.
„Οὐρανὸς κινήσεων ὑμῶν κατάρχει·
„Οὐ λέγω πασῶν· ἀλλ', ὑπόθες μ' εἰπόντα,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

75 ,,Φῶς ὑμῖν πρὸς τὸ καλὸν κακόν τ' ἐδόθη,
,,Κἀλευθέρα θέλησις, ἥτις τοῖς πρώτοις
,,Ἐὰν ἀντέχῃ πρὸς οὐρανὸν ἀγῶσιν,
,,Εἶτα νικᾷ πᾶν, καλῶς ἐδραιωθεῖσα.
,,Εἰς μείζον' ἰσχὺν καὶ βελτίονα φύσιν
80 ,,Ὑπόκεισθ' ἐλεύθεροι, κἀν ὑμῖν αὗται
,,Βουλὰς παράγουσ', ὧν οὐρανοῖς οὐ μέλει.
,,Εἰ τοίνυν ὁ νῦν κόσμος ἀποπλανᾶται,
,,Ὑμεῖς αἴτιοι, μὴ δ' ἄλλους αἰτιᾶσθε.
,,Καὶ δή σοι νῦν τόδ' ἀκριβῶς σαφηνίσω.
85 ,,Ἕξεισ' ἐκ Θεοῦ χειρός, ὃς περιθάλπει
,,Αὐτὴν πρὸ τοῦ γενέσθαι, δίκην κορίσκης
,,Κλαιούσης καὶ γελώσης νηπίου τρόπον,
,,Ἡ πάντως ἁπλῆ ψυχή, μηδὲν εἰδυῖα,
,,Πλὴν ἤ, κινηθεῖσ' ὑπ' εὐμενοῦντος Πλάστου,
90 ,,Ἑκοῦσα τρέπετ' εἰς ὅπερ αὐτὴν θέλγει.
,,Πρῶτον ἐπιτέρπεται τοῖς ἐλαχίστοις,
,,Κἀκεῖ πλανηθεῖσ' αὐτῶν κατόπιν τρέχει,
,,Ἢν ὁδηγὸς ἢ ῥυτὴρ ὁρμὴν μὴ στρέψῃ.
,,Ὥστ' ἐδέησεν ὡς χαλινὸν τιθέναι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

95 ,,Νόμους, βασιλέα τε καθιστάν', ἵνα
,,Τὸν τῆς πόλεως κἂν πύργον διακρίνῃ.
,,Ἔχετε νόμους· πλὴν ποῦ χεὶρ ἐκτελοῦσα;
,,Οὐδαμοῦ· καὶ γὰρ Ποιμὴν ὁ προεξάρχων,
,,Κἂν μηρυκᾶται, δίχηλον πόδ' οὐκ ἔχει.
100 ,,Οἱ πολλοὶ γοῦν ὁδηγὸν αὐτῶν ὁρῶντες
,,Ὁρμῶντ' εἰς δέλεαρ, ὃ σφόδρα ποθοῦσι,
,,Τούτῳ βόσκονται, ζητοῦντες οὐδὲν ἄλλο.
,,Ἡ κακὴ τοίνυν διεύθυνσις, ὡς βλέπεις,
,,Αἴτιός ἐστι τῆς ἐπὶ γῆς κακίας,
105 ,,Οὐχ ὅτι φθορεὺς ἔστ' ἐν ὑμῖν ἡ φύσις.
,,Εἶχ' ἡ τὸν κόσμον ἐκπαιδεύσασα Ῥώμη
,,Ἡλίους δύο, φωτίζοντας τὰς δύο
,,Ὁδούς, τήν τε τοῦ Θεοῦ καὶ τὴν τοῦ κόσμου·
,,Ἀλλ' ἔσβεσαν ἀλλήλους, σπάθης καὶ ῥάβδου
110 ,,Ποιμνικῆς ἑνωθεισῶν, ὥστ' ἀμφοτέρους
,,Ἐξ ἀνάγκης δεῖ κακῶς ὁμοῦ βαδίζειν·
,,Ἡνωμένοι γὰρ ἀλλήλους οὐ φοβοῦνται.
,,Ἢν δ' ἔμοιγε μὴ πείθῃ, βλέπε τὸν στάχυν·
,,Πᾶσα γὰρ πόα γινώσκετ' ἐκ τοῦ σπόρου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

115 ,,Ἐπὶ τῆς χώρας, ἣν Ἀτισὼν ἀρδεύει
,,Καὶ Πάδος, ὑπῆρχ' ἀνδρεία καὶ κομψότης
,,Ἀεὶ πρὶν τῆς ἔριδος τοῦ Φρεδερίκου.
,,Νῦν δ' ἐλευθέρως δύναται διαβῆναι
,,Ἐκεῖθεν πᾶς τις, ὃς αἰσχύνετ' ἀνδράσιν
120 ,,Ὁμιλεῖν ἐσθλοῖς ἢ τούτοις ἐντυγχάνειν.
,,Τρεῖς εἰσ' ἔτ' ἐκεῖ γέροντες, ἐν οἷς ψέγει
,,Τὸν νῦν αἰῶν' ὁ πάλαι, θερμῶς ποθοῦντες
,,Ἵν' εἰς βελτίω Θεὸς ζωὴν καλέσῃ:
,,Κορράδος Παλατίου, χρηστὸς Γεράρδος
125 ,,Καὶ Καστέλλου Γουΐδος, ὃν ὡς τὰ πλεῖστα
,,Γαλλιστὶ νῦν καλοῦσιν ἁπλοῦν Λομβάρδον.
,,Ἴσθ' ὡς τὸ λοιπὸν ἡ Ῥώμης Ἐκκλησία
,,Πίπτει, τὰς δύο συγχέασ' ἐξουσίας,
,,Εἰς βόρβορον, ῥυπαίνουσ' αὐτὴν καὶ φόρτον."—
130 "Ὦ Μάρκε, καλῶς," εἶπον, "διαλογίζῃ·
,,Νῦν τε σάφ' ἐννοῶ, πῶς οἱ Λευΐ παῖδες
,,Ἀπεκλείσθησαν ἐκ τῆς κληρονομίας.
,,Πλὴν τίς ἔσθ' ὁ Γεράρδος, ὁ, καθὰ λέγεις,
,,Μείνας ὡς μνήμη τοῦ θανόντος αἰῶνος,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

135 ,,Ὡς ἔλεγχός τε τοῦ νῦν παρανομοῦντος;"—
"Ἢ τὸ σὸν λέγειν ἀπατᾷ μ', ἢ πειράζει,"
Ἀπεκρίνατο· "τουσκιστὶ γὰρ λαλῶν μοι,
,,Δοκεῖς ἀγνοεῖν τὸν ἀγαθὸν Γεράρδον.
,,Ὑπ' ἐπώνυμον οὐκ ἔγνων αὐτὸν ἄλλο,
140 ,,Εἰ μή γε λάβοιμ' ἐκ θυγατρὸς Γαΐας.
,,Ἐν Θεῷ χαίροις! οὐχ ἕψομαί σοι πόῤῥω.
,,Ὅρα τὴν ἤδη διὰ τοῦ καπνοῦ λάμψιν
,,Διαυγάζουσαν· Ἔστ' Ἄγγελος! καὶ δέον
,,Πρὶν αὐτὸν ἐλθεῖν προαπελθεῖν μ' ἐντεῦθεν."
145 Ταῦτ' εἶπεν, οὐκέτι μου θέλων ἀκούειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΙΖ΄.

Παραδείγματα Ὀργῆς.—Ὁ Τέταρτος Κύκλος.—
Οἱ Ῥάθυμοι.

Μέμνησ', εἴποτε κατέλαβ', Ἀναγνῶστα,
Ἐν Ἄλπεσί σ' ὀμίχλη, δι' ἧς οὐκ ἄλλως
Ἔβλεπες ἂν ἢ διὰ δέρους ἀσπάλαξ,
Πῶς, τῶν καθύγρων καὶ συμπύκνων ἀτμίδων
5 Διασκεδάννυσθ' ἀρχομένων, ἡλίου
Ἡ σφαῖρ' ἀμυδρῶς δι' αὐτῶν διορᾶται·
Καὶ τῇ σῇ διανοίᾳ τάχ' ἂν ἰδέαν
Σχοίης ἀτελῆ, πῶς ἐπανεῖδον πρῶτον
Τὸν ἥλιον ὄντ' ἤδη περὶ τὴν δύσιν.
10 Οὕτω ῥυθμίζων τἀμὰ τοῖς τοῦ γλυκέος
Πατρὸς ἴχνεσιν, ἐξῆλθον τῆς ὀμίχλης
Πρὸς τὰς ἐν ἀκταῖς ἤδη νεκρὰς ἀκτῖνας.
Ὦ φανταστικόν, τὸ μεθιστὰν ἐσθ' ὅτε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἡμᾶς οὕτως, ὥστ' ἀναίσθητός τις μένει,
Κἂν χίλιαι σάλπιγγες ἠχῶσι πέριξ,
Τί κινεῖ σ', αἰσθήσεως οὐ συμπραττούσης;
Φῶς ἀφ' ἑαυτοῦ σχηματισθὲν κινεῖ σε
Ἐν οὐρανοῖς, ἢ βουλὴ τρέπει τις κάτω;
Ἡ δυσσέβεια τῆς μεταμορφωθείσης
Εἰς πτηνόν, ὅπερ τὰ μάλιστ' ᾀδον χαίρει,
Ὡς φάσμ' εἰς διάνοιαν ἐμὴν ἐπέστη.
Αἱ δ' αἰσθήσεις μου συνεστάλησαν οὕτως
Ἐν ἑαυταῖς, ὥστ' οὐδὲν ἔξωθεν πρᾶγμα
Ἠδύνατό μοι τότ' εἰς τὸν νοῦν εἰσδῦναι·
Εἶτ' ὀνειροπολοῦντι θέα παρέστη
Ἀνδρὸς ὑπερηφάνου καὶ μεγαλαύχου
Ἐσταυρωμένου κἀποθνήσκειν δοκοῦντος.
Αὐτοῦ πέριξ δ' ἦν ὁ μέγας Ἀσσουῆρος
Ἐσθήρ τε σύζυξ καὶ πιστὸς Μαρδοχαῖος,
Ὃς ἦν ὅλως ἄμεμπτος ἔργοις καὶ λόγοις.
Ἐπεὶ δὲ τὸ φάντασμα πᾶν διερράγη
Αὔτ' ἀφ' ἑαυτοῦ, καθάπερ τις πομφόλυξ
Ὕδατος, ὅθεν ἐγένετ', ἐκλιπόντος,

Κατ' ὄψιν ἐμὴν νεᾶνίς τις ἠγέρθη
35 Κλαίουσα σφόδρα, λέγουσα· "Πῶς ἐξώλης,
,,Ἄνασσ', ἐξ ὀργῆς ἠθέλησας γενέσθαι;
,,Ἔκτεινας σαυτὴν τοῦ σῶσαι Λαυϊνίαν·
,,Ἀλλ' ὅμως μ' ἀπώλεσας· καὶ δὴ στενάζω,
,,Μῆτερ, ἐπ' ὀλέθρῳ σῷ πρίν τινος ἄλλου."
40 Ὡς ὕπνος ταράσσεται, φωτὸς ἐξαίφνης
Νεαροῦ προσβάλλοντος τὰς κλειστὰς ὄψεις,
Ἀγωνιᾷ τε πρὶν ὅλως ἀποψύξῃ,
Οὕτω μοι κατέπεσεν ἡ φαντασία,
Εὐθὺς ὡς προσέβαλε τὴν ἐμὴν ὄψιν
45 Φῶς πολλῷ μεῖζον τοῦ παρ' ἡμῖν συνήθους.
Στρεφομένῳ δ' ἔμοιγ', ἵν' ἔνθ' ἤμην ἴδω,
"Ὧδ' ἀνάβασίς ἐστιν," φωνή τις εἶπε,
Κἀπέτρεψέ μ' ἐκ πάσης προσοχῆς ἄλλης,
Τοσοῦτον ὀξὺν ἐμβαλοῦσά μοι πόθον
50 Τοῦ γνῶναι, τίς ἦν ὁ προσφθεγγόμενός με,
Ὥστ' οὔποτ' ἂν παύσαιτο πρὶν ἂν προσβλέψω.
Ἀλλ' ὡς ὅρασιν ἡμῶν ἥλιος πλήττει,
Οὗ θέαν ὑπέρμετρος καλύπτει λάμψις,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Οὕτω 'κεῖθ' ἦν ἐλλιπὴς ἡ δύναμίς μου.
55 "Πνεῦμ' ἐστι θεῖον ἡμῶν ἐν τῇ πορείᾳ
,,Προηγούμενον παρακλήσεων ἄνευ,
,,Καὶ κρυπτόμενον ἐκ λάμψεως οἰκείας.
,,Πρὸς ἡμᾶς τόδ', ὡς πρὸς ἑαυτόν τις, πράττει·
,,Ὁ γὰρ προσμένων παράκλησιν ἐν χρείᾳ
60 ,,Ἔστ' ἤδη φαύλως πρὸς ἄρνησιν ἑτοῖμος.
,,Σπεύσωμεν τοίνυν πρὸς τὴν τοσαύτην κλῆσιν,
,,Ἵν' ἀναβάντες φθῶμεν πρὶν συσκιάσῃ·
,,Εἶτα γὰρ οὐ δυνατὸν ἄχρι πρωΐας."
Ταῦτ' εἶπ' ἐμὸς Ἡγήτωρ· οὗτος δ' ἐγώ τε
65 Πρὸς κλίμακά τιν' ἐτρέψαμεν τὸ βῆμα.
Ὡς δ' ἀφικόμην ἐπὶ βαθμίδος πρώτης,
Ἠσθόμην ἐγγὺς ὡς πτεροῦ κίνημά τι,
Ῥιπίζον ὄψιν, καὶ λέγον· "Εἰρηναῖοι
,,Μάκαρες, ὀργῆς χαλεπῆς ἀμοιροῦντες."
70 Ἄνωθεν ἡμῶν ἤδη τόσον ὑψοῦντο
Αἱ τελευταῖαι πρὸ τῆς νυκτὸς ἀκτῖνες,
Ὥστε πάντοθεν ἀνεφαίνετο τἆστρα.
"Ὦ δύναμίς μου, τί μ' ἐγκαταλιμπάνεις;"

Ἔλεγον κατ' ἐμαυτόν, τὴν κνημῶν ῥώμην
Αἰσθανόμενος νεναρκωμένην ἤδη.
Ἦμεν ἐπ' ἄκρας τῆς κλίμακος βαθμίδος,
Οὐκέτ' ἀναβαίνοντες, ἀλλ' ἑστηκότες
Μένοντες, ὡς ὁρμηθὲν ἐπ' ἀκτῇ πλοῖον.
Καὶ δὴ προσέσχον ἀτενῶς, εἰ δυναίμην
Ἀκοῦσαί τι πρᾶγμ' ἐντὸς τοῦ νέου κύκλου.
Εἶτα στραφεὶς πρὸς ἐμὸν Ἡγήτορ' εἶπον·
"Γλυκύ μοι Πάτερ, εἰπέ μοι, ποῖον πταῖσμα
,,Καθαίρετ' ἐνταῦθ', ἐν ᾧ νῦν ἐσμὲν κύκλῳ;
,,Ἡ στάσις ποδῶν σοὺς λόγους μὴ στησάτω."
Ὁ δὲ πρὸς ἐμέ· "Πόθος ἀγαθοῦ δίχα
,,Ἀγαθοῦ τέλους ἐνταῦθ' ἐπανορθοῦται.
,,Ὧδε κώπη βραδύνασ' ἐλαύνετ' αὖθις.
,,Ἀλλ' ἵνα σαφέστερον ἔτι νοήσῃς,
,,Πρόσχες μοι τὸν νοῦν, καί τινά σοι παρέξει
,,Ἀγαθὸν καρπὸν ἡ στάσις ἡμῶν ἥδε.
,,Οὔτε Πλάστης, οὔτε ποθ' ὑπῆρξε πλάσμα,"
Τότ' ἤρξατ' αὐτὸς λέγειν, "ἔρωτος ἄνευ
,,Φυσικοῦ, τέκνον, ἢ ψυχικοῦ· τοῦτ' οἶσθα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Ὁ μὲν φυσικὸς ἦν ἀεὶ χωρὶς πλάνης·
95 ,,Ἀλλ' ἄτερος πλανᾶσθαι δύνατ' ἐκ φαύλου
,,Σκοποῦ δι' ἄγαν πολλὴν ἢ μικρὰν ζέσιν.
,,Ἐφ' ὅσον πρὸς τὰ πρώτιστ' ἀγαθὰ τείνει,
,,Κἂν τοῖς δευτέροις τίθησ' ἑαυτῷ μέτρον,
,,Οὐκ ἂν γένοιτο κακῶν αἴτιος πόθων.
100 ,,Ἀλλ' εἰς τὸ κακὸν τραπείς, ἢ δεικνὺς πλείω
,,Ἢ μείω πρὸς τἀγαθὸν ἢ πρέπει ζῆλον,
,,Ἀντιτάσσει τὸ πλάσμα κατὰ τοῦ Πλάστου.
,,Ἐκ τούτου δύνασ' ἐννοεῖν, πῶς ἁρμόζει
,,Τὸν ἔρωτ' εἶν' ἐν ὑμῖν σπόρον ἁπάσης
105 ,,Ἀρετῆς καὶ πράξεως ἀξιοποίνου.
,,Ὡς οὖν οὐδέποτ' ἔρως τῆς σωτηρίας
,,Οὗπερ ἔραται δύνατ' ἀποτραπῆναι,
,,Ἀεὶ τοῦ μισεῖν ἑαυτόν τις ἀπέχει.
,,Ἐπεὶ δ' οὐδὲν ὂν οὐδεὶς ἂν ὑπολάβοι
110 ,,Μένειν καθ' αὑτὸ καὶ χωριστὸν τοῦ Πρώτου,
,,Τὸ πλάσμ' οὐ ῥέπει πρὸς τὸ μισεῖν τὸν Πλάστην.
,,Λοιπὸν τἀγαπώμενον, εἰ καλῶς κρίνω,
,,Κακὸν τὸ τοῦ πλησίον ἐστίν· ὁ δ' ἔρως

,,Οὗτος ἐν ὑμῶν πηλῷ τριχῇ γεννᾶται.
115 ,,Ὁ μέν τις ἀνύψωσιν εἰς τοῦ πλησίον
,,Τὴν ταπείνωσιν ἐλπίζει, καὶ πρὸς τοῦτο
,,Ἐκπίπτοντ' ἰδεῖν ποθεῖ τοῦ μεγαλείου·
,,Ὁ δέ τις, μὴ στερηθῇ κράτους, χαρίτων,
,,Τιμῶν καὶ φήμης, ἄλλων ἀνυψουμένων,
120 ,,Δυσανασχετεῖ καὶ ποθεῖ τοὐναντίον·
,,Τέλος, ἄλλος τις, ἐρεθισθεὶς δι' ὕβριν,
,,Ἐκδικήσεως ἀδυσωπήτου πνέει,
,,Τὸν τοῦ πέλας ὄλεθρον παρασκευάζων.
,,Ὁ τρίμορφος ἔρως ὅδ' ὑφ' ἡμᾶς κάτω
125 ,,Ἀφαγνίζεται· νῦν δ' ἐννοεῖν σε θέλω
,,Τὸν ἄλλον πρὸς τἀγαθὸν ῥέποντ' ἀτάκτως.
,,Πᾶς τις οἴετ' ἀγαθὸν συγκεχυμένως,
,,Ἐν ᾧ τὴν ψυχὴν ἐκ πόθου κατευνάζει·
,,Διόπερ αὐτοῦ σπουδάζει καθικέσθαι.
130 ,,Εἰ δ' ἔρως βραδὺς ἕλκει σ' εἰς αὐτὸν βλέπειν
,,Ἢ κτήσασθαι, τότε σε κορωνὶς ἥδε,
,,Μετὰ δικαίαν μετάνοιαν, κολάζει.
,,Ἔστ' ἄλλ' ἀγαθὸν οὐ ποιοῦν εὐτυχῆ σε·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Εὐτυχία τοῦτ' οὐκ' ἔστ', ἀλλ' οὔτ' οὐσία,
„Ἡ πάντων τῶν ἀγαθῶν καρπὸς καὶ ῥίζα.
„Ὁ τούτῳ λίαν ἐκδιδόμενος ἔρως
„Ἄνωθ' ἡμῶν κολάζετ' ἐν τρισὶ κύκλοις·
„Ἀλλὰ σιωπῶ, πῶς τριμερὴς ὑπάρχει,
„Ἵν' αὐτὸν ἀπὸ σαυτοῦ διερευνήσῃς."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΙΗ'.

Λόγος Βιργιλίου περὶ Ἔρωτος καὶ ἐλευθέρας Θελήσεως.—Ὁ Ἀββᾶς τοῦ Ἁγίου Ζήνωνος.

Τοῦ λόγου παυσάμενος ἐμὸς ὑψίφρων
Διδάσκαλος, ἀτενὲς ἔβλεπ' εἰς ὄψιν
Ἐμὴν γνῶναι θέλων, εἰ στέργειν ἐδόκουν.
Ἐγὼ δ', ὃν ἔφλεγ' ἔτι νέα τις δίψα,
5 Ἐσίγων, λέγων κατ' ἐμαυτόν· "Τάχ' ἴσως
,,Αὐτὸν αἱ πολλαὶ βαρύνουσ' ἐρωτήσεις."
Ἀλλ' ὁ φιλαλήθης μοι πατήρ, ὁρῶν με
Τὴν ἔνδον δειλὴν ἔφεσιν οὐ δηλοῦντα,
Λαλῶν τοῦ λαλεῖν θάῤῥος ἐνέβαλέ μοι.
10 Διό· "Προστάτα, τὰς ἐμὰς ὄψεις," εἶπον,
"Οὕτω ζωπυροῖ τὸ σὸν φῶς, ὥστε σάφα
,,Διορῶ τὸν νοῦν κοὐσίαν τῶν σῶν λόγων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Ἀλλ' ἐκλιπαρῶ σ', ὦ γλυκὺ φίλε πάτερ,
,,Φράσον, τί ποτ' ἔστ' ἔρως, εἰς ὃν ἀνάγεις
15 ,,Πᾶσαν ἀγαθὴν ἐναντίαν τε πρᾶξιν."—
"Τεῖνον πρὸς ἐμὲ τὰς ὀξυδερκεῖς," εἶπεν,
"Ὄψεις τοῦ νοός, καὶ γνώσῃ τὴν ἀπάτην
,,Τυφλῶν ἑαυτοὺς ὁδηγοὺς καθιστάντας.
,,Ἡ ψυχὴ πρὸς τἀγαπᾷν πλασθεῖσ' ἑτοίμη,
20 ,,Ἔστ' ἐπιῤῥεπὴς εἰς πᾶν ἀρέσκον πρᾶγμα,
,,Ἅμ' ὑφ' ἡδονῆς εἰς ἔργον ὁρμηθεῖσα.
,,Ὁ σὸς νοῦς δ' ἐξ ἀληθοῦς ὄντος ἀρύει
,,Ἐμφάσεις, αἵπερ ἀναπτύσσοντ' ἐντός σου
,,Οὕτως, ὥσθ' ἡ σὴ ψυχὴ πρὸς αὐτὰς κλίνει.
25 ,,Εἰ δὲ πρὸς αὐτὰς κλίνασ' αὐταῖς ὑπείκει,
,,Ὑπειξις ἥδ' ἔστ' ἔρως, νέα τις φύσις,
,,Ἥτις ἐκ τῆς ἡδονῆς ἐν σοὶ γεννᾶται.
,,Ἔπειτα δ', ὡς κινεῖται τὸ πῦρ πρὸς τἄνω,
,,Ἐκ φύσεως γεγονὸς ἵν' ἀναβαίνῃ
30 ,,Ἐνθ' ἐν ἰδίῳ διαμένει στοιχείῳ,
,,Οὕτως εἰς πόθον ἁλοῦσ' ἡ ψυχὴ πίπτει,
,,Ὅς ἐστι ῥιπὴ πνευματική, κοὐ παύει

„Ἕως ἂν ἀπολαύσῃ τοῦ ποθουμένου.
„Ἐννοεῖν οὖν δύνασαι τἀληθὲς πόσον
„Ἀφανές ἐστι τοῖς δοξάζουσιν, ὅτι
„Ἀγαθὸς καθ' ἑαυτόν ἐστι πᾶς ἔρως·
„Ἴσως γὰρ τὴν ἐν αὐτῷ νομίζουσ' ὕλην
„Εἶν' ἑκάστοτ' ἀγαθήν· ἀλλ' οὐ πᾶς τύπος
„Ἀγαθός, κἂν ὁ κηρὸς ἀγαθὸς τύχῃ."—
"Ἐκ τῶν σῶν λόγων καὐτοῖς τὸν νοῦν προσέχων,"
Ἀπεκρινάμην, "ἔγνων τί πότ' ἐστ' ἔρως·
„Ἀλλὰ δισταγμῶν πέπλησμαι νῦν πλειόνων.
„Εἰ γὰρ ἔκτοσθεν ἡμῖν ἐπέρχετ' ἔρως,
„Ἡ δὲ ψυχὴ προβαίνειν ἄλλως οὐκ ἔχει,
„Ὅποι τράποιτ' ἄν, οὐδενός ἐστ' ἀξία."
Πρὸς ἐμὲ δ' αὐτός· "Ὅσ' ὁ νοῦς ὧδε βλέπει,
„Δύναμ' εἰπεῖν σοι· τὰ περαιτέρω γνώσῃ
„Ἐκ Βεάτρικος· πίστεως γὰρ τοῦτ' ἔργον.
„Πᾶν οὐσιῶδες σχῆμ', ὅπερ διαφέρει
„Τῆς ὕλης, ἀλλ' ὃν μετ' αὐτῆς ἡνωμένον,
„Ἰδίαν ἐν ἑαυτῷ δύναμιν ἔχει,
„Οὔτ' αἰσθητὴν οὖσαν, οὔτ' ἐμφανῆ δίχα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Πράξεων αὐτῆς μετ' ἀποτελεσμάτων,
,,Ὡς οὔτε φυτὰ ζῶντ' ἄνευ χλωρῶν φύλλων.
55 ,,Ἀλλ' ἄνθρωπος οὐκ οἶδε πόθεν τῶν πρώτων
,,Ἰδεῶν ἡ νόησις ἐπ' αὐτὸν ἥκει,
,,Οὔτε τῶν πρώτων ὀρέξεων τὸ πάθος,
,,Τῶν οὐσῶν ἐν σοίγ', ὡς ἐν μελίσσῃ φύσις
,,Τοῦ μελιτουργεῖν· ἡ πρώτη δ' αὕτη τάσις
60 ,,Οὐκ ἔστ' ἀξία μέμψεως οὔτ' ἐπαίνου.
,,Ἐπεὶ δ' οὖν αὐτῇ συνενοῦται πᾶσ' ἄλλη,
,,Ἐν σαυτῷ τὴν δύναμιν ἔμφυτον ἔχεις,
,,Ἡ κρίνει κἀποδοχῆς φυλάττει θύραν.
,,Ἐκ δὲ τῆς ἀρχῆς ταύτης ἐν σοὶ γεννᾶται
65 ,,Ἡ τῆς ἀξίας αἰτία, καθὰ φαύλους
,,Κἀγαθοὺς πόθους δέχεται καὶ προκρίνει.
,,Οἱ δ' εἰς τὸ βάθος εἰσδύντες τῇ μελέτῃ
,,Ἔγνωσαν τήνδ' ἔμφυτον ἐλευθερίαν,
,,Τὴν Ἠθικὴν τῷ κόσμῳ καταλιπόντες.
70 ,,Ἀλλ' ἐὰν ἐκλάβωμεν, ὡς ἐξ ἀνάγκης
,,Γεννᾶτ' ἔξωθεν πᾶς ἐν σοὶ φλέγων ἔρως,
,,Τοῦ δαμάσ' αὐτὸν δύναμις ἔνεστί σοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Δύναμιν τήνδ' εὐγενῆ καλεῖ Βεάτριξ
„Ἐλευθέραν θέλησιν, καὶ πρόσχες ἔχειν
„Ἐν τῷ νῷ τοῦτ', ἂν εἴπῃ σοι περὶ ταύτης."
Ἡ μέσον νυκτὸς ἐκφανεῖσα σελήνη
Φαίνεσθ' ἐποίει σπανιώτερα τἆστρα,
Παραπλησία περιλάμποντι κάδῳ·
Κατ' οὐρανοῦ δὲ διέτρεχε τὰς τρίβους,
Ἃς ἥλιος ἐμπίπρησ', ὅταν ἐκ Ῥώμης
Ὁρᾶται δύων μέσον Σαρδοῦς καὶ Κύρνου.
Ἡ δ' ἐπίχαρις σκιά, δι' ἣν ὑμνοῦνται
Ἄνδεις μᾶλλον πόλεως αὐτῆς Μαντύας,
Ἀπέβαλ' ὅπερ ἐθέμην αὐτῇ βάρος.
Ἐγὼ δὲ σαφεῖς καὶ σοφὰς ἐξηγήσεις
Λαβὼν ἐπὶ τῶν ἐμῶν ἐρωτημάτων,
Ἱστάμην ὡς ἄνθρωπος ἐπινυστάζων·
Ἀλλ' ὁ νυσταγμὸς οὗτος κατέλιπέ με
Ἐξαίφνης ὑπὸ πνευμάτων, ἅπερ ἤδη
Ἦλθ' ἐγγὺς ἡμῶν σπεύδοντα κατὰ νῶτα.
Οἷον δ' Ἰσμηνὸς κ' Ἀσωπὸς νύκτωρ ἤδη
Παρὰ τὰς ὄχθας εἶδον μανικὸν ὄχλον,

Ὅτε τὸν Βάκχον ἐλάτρευον Θηβαῖοι,
Τοιούτους εἶδον τοὺς ἐν τῷ κύκλῳ κείνῳ
95 Βήματι καλπάζοντι προσερχομένους
Ἐθελουσίως εἰλικρινεῖ σπουδῇ τε.
Τάχος δ' ἦλθον ἐφ' ἡμᾶς, διότι τρέχον
Τὸ μέγα τοῦτο πλῆθος πᾶν ἐκινεῖτο.
Δύο δὲ πρόσθεν ἐκραύγαζον θρηνοῦντες:
100 "Εἰς τοῦρος σπουδῇ Μαριὰμ ἐπορεύθη,"
Καί: "Δουλώσων Ἰλέρδαν Καῖσαρ, πατάξας
,,Μασσαλίαν, ἔδραμεν εἰς Ἱσπανίαν."—
"Τάχος, τάχος, μὴ μάτην χρονοτριβῶμεν
,,Δι' ὀλίγον ἔρωτος," ἔκραζον ἄλλοι·
105 "Σπουδῇ γὰρ πρὸς τἀγαθὸν ἀνανθεῖ χάρις."—
"Ὦ ψυχαί, θερμῶς προσπαθοῦσαι νῦν ἴσως
,,Πρὸς ἔκτισιν ἧς ἐδείξατ' ἀμελείας,
,,Ψυχρῶς ἔχουσαι πρὸς τὴν ἀγαθουργίαν,
,,Οὗτός ἐστι ζῶν (κοὐδαμῶς ἀπατῶμαι),
110 ,,Θέλει δ' ἀνελθεῖν, ἅμ' ἡλίῳ φανέντι·
,,Εἴπατε τοίνυν ποῦστιν ἐγγὺς ὁ πόρος;"
,,Ἡγήτορός μου τοὺς λόγους τούσδ' εἰπόντος,

Ἐν τῶν πνευμάτων κείνων ἐπεῖπεν· "Ἔρχου
„Ὄπισθεν ἡμῶν, καὶ τὴν ὀπὴν εὑρήσεις.
„Οὕτω κινεῖσθαι σφοδρῶς ἐπιθυμοῦμεν,
„Ὥστ' οὐκ ἔσθ' ὅπως στῶμεν· ἀλλὰ συγχώρει
„Ἐὰν σπεύδοντες ἀγροῖκοί σοι δοκῶμεν.
„Ἀββᾶς Ἁγίου Ζήνωνος ἦν Βηρώνῃ,
„Βασιλεύοντος τοῦ χρηστοῦ Βαρβαρόσσα,
„Οὗ μέμνητ' ἔτι Μεδιόλανον στένον.
„Καί τις ἕν' ἤδη ποδῶν ἔχων ἐν τάφῳ,
„Κλαύσετ' εὐθὺς ἕνεκα τῆς μονῆς κείνης,
„Κἀχθέσετ' ἐκεῖ κατασχὼν ἐξουσίαν·
„Υἱὸν γὰρ αὐτοῦ, δύσμορφον μὲν τὸ σῶμα,
„Τὸν δὲ νοῦν χείρω, καὶ τὴν γέννησιν νόθον,
„Ἔθετ' ἀντὶ τἀληθοῦς αὐτῆς ποιμένος."
Οὐκ οἶδ', εἰ πλέον ἔλεγεν, εἴτ' ἐσίγα·
Οὕτως ἀφ' ἡμῶν μακρὰν παρέδραμ' ἤδη·
Πλὴν τοῦτ' ἤκουσα, κἀρέσκει μοι φυλάττειν.
Ὁ δ' ἐν ἀνάγκαις πάσαις ὢν ἀρωγός μοι
Εἶπεν· "Ὧδὶ στράφητι, καὶ βλέπε δύο
„Προσερχομένους ψέγοντάς τ' ἀκηδίαν."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Πάντων ὄπισθ' ἔλεγον· "Τεθνήκασ' ἤδη
,,Ἐκεῖνοι, πρὸς οὓς ἡ θάλασσ' ἀνεῴχθη,
135 ,,Πρὶν Ἰορδάνης ἴδῃ τοὺς κληρονόμους."
Καί· "Τῶν ἀγώνων οἱ μὴ μέχρι τοῦ τέλους
,,Συμμετασχόντες μετὰ παιδὸς Ἀγχίσου,
,,Κατέγνωσαν ἑαυτῶν ἄδοξον βίον."
Ἀποστασῶν δὲ μακρὰν ἀφ' ἡμῶν οὕτως
140 Τῶν σκιῶν κείνων, ὥστ' ἀθεάτους εἶναι,
Νέος λογισμὸς ἐν ἐμοὶ τότ' ἐπῆλθεν,
Ἐφ' οὗ πλείονες ἐγεννήθησαν ἄλλοι.
Οὕτω δ' ἐξ ἑνὸς εἰς ἄλλον ἐπλανώμην,
Ὥστ' ἔκλεισ' ἐμοὺς ὀφθαλμοὺς ἐν ἐκστάσει,
145 Καὶ τὸν λογισμὸν μετέβαλον εἰς ὄναρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΙΘ΄.

Τὸ Ἐνύπνιον τῆς Σειρῆνος.—Ὁ Πέμπτος Κύκλος.—
Οἱ Φιλάργυροι καὶ Ἄσωτοι.—Ὁ Πάπας Ἀδριανὸς ὁ Ε΄.

Ἐν ὥρᾳ, καθ᾽ ἣν ὁ τῆς ἡμέρας καύσων
Οὐ δύνατ᾽ ἔτ᾽ ἐκθάλπειν ψῦχος σελήνης,
Ἡττηθεὶς ὑπὸ τῆς Γῆς, ἢ καὶ τοῦ Κρόνου,
Ὅτ᾽ οἰωνοὺς αἰσίους οἱ γεωμάντεις
5 Πρὸς ἀνατολὰς ὁρῶσι, πρὸ τῆς ἕω,
Θρώσκοντας, ἔνθ᾽ οὐ μακρὸν μένει τὸ σκότος,
Ἐφάνη μοι κατ᾽ ὄναρ τραυλὴ γυνή τις,
Τοὺς ὀφθαλμοὺς παραβλώψ, στρεβλὴ τοὺς πόδας,
Κολοβὴ δὲ τὰς χεῖρας κὠχρὰ τὴν ὄψιν.
10 Ἑώρων αὐτήν· ὡς δ᾽ ἥλιος κρατύνει
Τὰ ψυχρὰ μελη τὰ νυκτὸς ναρκωθέντα,
Οὕτω τοὐμὸν βλέμμ᾽ εὐκίνητον ἐποίει
Τὴν γλῶσσαν αὐτῆς, κἆτα πᾶσαν ἠνώρθου
Αὐτίκα μάλα, τήν τ᾽ ὠχριῶσαν ὄψιν,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

15 Ὡς εἴωθ' ἔρως, ὡσαύτως ἀνεχρώννυ.
Ἐπεὶ δ' ἀνέλαβ' ἐλεύθερον τὸ λέγειν,
Ἤρξατ' ᾄδειν οὑτωσίν, ὥστε δυσκόλως
Ἀπέτρεψ' ἂν ἀπ' αὐτῆς τὴν προσοχήν μου.
"'Εἴμ' ἔγωγ'," ᾖδεν, "εἰμὶ σειρὴν γλυκεῖα,
20 ,,Ἐπὶ θαλάσσης τοὺς ναυβάτας πλανῶσα·
,,Οὕτως εἴμ' ἀκούουσι πλήρης θελγήτρων.
,,Πλοὸς ἐπέσχον Ὀδυσσέα πλανήτην
,,Ταῖς ἐμαῖς ᾠδαῖς· ὅς δ' ἂν ἐμοὶ συντύχῃ,
,,Σπανίως ἀφίσταται· τοσοῦτον θέλγω."
25 Μόλις ἔφθη κλείσασα τὸ στόμα, καί τις
Δέσποιν' ἁγία καὶ σπεύδουσ' ἐπεφάνη
Ἐμοῦ πλησίον, ἐξελέγξουσ' ἐκείνην.
"Ὦ Βιργίλιε, Βιργίλιε, τίς αὕτη;"
Ἔλεγεν ὑπερθύμως· ὁ δὲ προῄει
30 Ἐπὶ δεσποίνης σεμνῆς ὄμματ' ἐρείδων.
Ἡ δὲ τὴν ἄλλην λαβοῦσα, καὶ τὰ πρόσθεν
Ἱμάτια ῥήξασα, γαστέρ' ἐδείκνυ,
Ἧς ἐξ ὕπνου μ' ἤγειρεν ἡ δυσωδία.
Ἔτρεψ' ὀφθαλμούς· ὁ δὲ Βιργίλιός μου,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

35 "Τρίς σ' ἐκάλεσ'," ἔλεγεν· "Ἐγέρθητ', ἔρχου·
,,Εὕρωμεν ὀπήν, δι' ἧσπερ ἂν εἰσέλθοις."
Ἀνέστην· ἤδη δ' ἦσαν οἱ κύκλοι τοὔρους
Ἅπαντες πλήρεις τοῦ φωτὸς τῆς ἡμέρας·
Σὺν νέῳ δ' ἴμεν κατόπισθεν ἡλίῳ.
40 Εἰπόμην αὐτῷ, τοὐμὸν μέτωπον φέρων,
Ὡς ὁ λογισμοῖς πολλοῖς βεβαρυμένος,
Γινόμενός θ' ἥμισυ τόξον γεφύρας,
Ὅτ' ἤκουσ'· "Ἔλθετ', ἐνταῦθ' ἐστιν ὁ πόρος."
Οἱ λόγοι δ' οὗτοι γλυκεῖς εὐμενεῖς τ' ἦσαν,
45 Οἵους οὐδείς ποτ' ἤκουσ' ἐν θνητῶν βίῳ.
Τεταμέναις πτέρυξιν ὁμοίαις κύκνου
Ὁ λαλῶν οὕτως ἔτρεψ' ἡμᾶς πρὸς τἄνω
Διὰ τῶν δύο πλευρῶν τῆς σκληρᾶς πέτρας.
Ἐκίνησ' εἶτα τὰ πτερά, καὶ ῥιπίζων
50 Ἡμᾶς ἔλεγε· "Μάκαρες οἱ πενθοῦντες,
,,Παρακληθήσονται γὰρ αἱ ψυχαὶ τούτων."—
"Τί ποτ' ἆρ' ἔχεις οὕτως εἰς τὴν γῆν κύπτων;"
Πρὸς ἔμ' ἤρξατο λέγειν ἐμὸς Ἡγήτωρ,
Μικρὸν προβάντος ἡμῶν ἀμφοῖν τἀγγέλου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

55 Κἀγώ· "Τοσούτους δισταγμούς μοι παρέχει
„Ὄρασις καινὴ καὶ πρὸς αὐτήν μ' ἐφέλκει,
„Ὥστ' ἀπέχεσθαι τῶν σκέψεων οὐκ ἔχω."—
"Εἶδες," εἶπεν, "Ἔμπουσαν ἀρχαίαν κείνην,
„Δι' ἣν μόνην κλαίουσιν ἡμῶν ἐπάνω·
60 „Εἶδες ἀπ' αὐτῆς ὅπως ἐκλύεταί τις;
„Ἅλις σοι, καὶ κατὰ γῆς κροῦε τὰς πτέρνας·
„Ἆρον τὰς ὄψεις πρὸς θέλγητρον, ὃ στρέφει
„Αἰώνιος Μόναρχος τροχοῖς μεγίστοις."
Οἷος ἱέραξ ἰδὼν πρῶτον τοὺς πόδας,
65 Εἶτ' εἰς τὴν φωνὴν τρεπόμενος, ὀρθοῦται
Ἐκ τοῦ πρὸς τὸ θήραμα κινοῦντος πόθου,
Τοιοῦτος ἤμην, καὶ τοιοῦτος, καθ' ὅσον
Ἡ ῥὼξ ῥήγνυται πρὸς τὴν ἄνω πορείαν,
Ἀνέβην ἔνθ' ὁ νέος ἄρχεται κύκλος.
70 Ἐπεὶ δ' εἰσῆλθον ἔσω τοῦ πέμπτου κύκλου,
Εἶδον ἐν αὐτῷ ψυχὰς κλαυθμυριζούσας,
Κεκλιμένας ἐπὶ γῆς, τὴν ὄψιν κάτω·
"Ἡ ψυχή μου κεκόλλητ' ἐπὶ τοὐδάφους,"
Ἔλεγον σὺν στοναχαῖς οὕτω βαθείαις,

75 Ὥστ' ἐνοοῦντο μόλις αὐτῶν οἱ λόγοι.
"'Εκλεκτοὶ θεόθεν, οἷς δικαιοσύνη
„Ἐλπίς τε τιθεῖσ' ἧττον σκληρὰ τὰ πάθη,
„Ἡμᾶς εὐθύνατ' εἰς τὴν ἄνω πορείαν."—
"Εἰ μὴ πεσόντες χαμᾶζ' ἔρχεσθ' ἐνθάδε,
80 „Ἀλλὰ τὴν ὁδὸν θᾶττον εὑρεῖν ποθεῖτε,
„Ἔχετε τὰς δεξιὰς ἀεὶ πρὸς τἄξω."
Τοιάδ' ᾔτησεν ὁ Ποιητής, ἡμῶν τε
Ἔμπροσθεν ἀπόκρισις τοιάδ' ἐδόθη.
Ἐγὼ δὲ θέλων γνῶναι τὴν κρυπτὴν ὄψιν,
85 Τὰ βλέμματ' ἔτρεψ' εἰς τὸν ἐμὸν Προστάτην,
Ὃς συνῆνεσε δι' εὐμενοῦς σημείου
Τῷ φαινομένῳ τῇ προσόψει μου πόθῳ.
Ἀδείας τυχὼν πρᾶξαι κατ' ἐμὴν γνώμην,
Προβὰς ἐπέκυψ' εἰς τὴν ψυχὴν ἐκείνην,
90 Ἧς μ' ἐφείλκυσαν κατὰ πρῶτον οἱ λόγοι,
Λέγων· "Πνεῦμ', οὗ τὸ κλαίειν πεπαίνει κεῖνο,
„Οὗ δίχ' εἰς θεὸν ἐπανελθεῖν οὐκ ἔνι,
„Παῦσαι μικρὸν χάριν μου τῶν μεριμνῶν σου.
„Τίς ἦς, καὶ πῶς ἔχετε τρεπτοὺς τοὺς ὤμους

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

95 ,,Πρὸς τἄνω, λέγε, κεὶ θέλεις ἐν τῷ κόσμῳ
,,Τυχεῖν σέ τινος, ὅθεν ἐγὼ ζῶν ἥκω."
Ὁ δὲ πρὸς ἐμέ· "Γνώσῃ πῶς ἡμῶν ὄψιν
,,Οὐρανὸς τρέπει κατὰ γῆς· ἀλλὰ πρῶτον
,,Διάδοχον γεγονότ' ἴσθι με Πέτρου.
100 ,,Καταῤῥεῖ μέσον Σιέστρου καὶ Κλαυάρου
,,Ῥεῖθρον καλλίῤῥουν, οὗ τῇ κλήσει κοσμεῖται
,,Ἡ τῆς ἐμῆς πατριᾶς ἐπωνυμία.
,,Πλέον τι μηνὸς ἔγνων ὅσον βαρύνει
,,Ἡ μεγάλη χλαῖν' ἄσπιλον τῷ τηροῦντι·
105 ,,Πτίλον γὰρ ἂν εἴποι τις πᾶν ἄλλο βάρος.
,,Ἡ 'μὴ μεταμέλεια, φεῦ! ἦν ὀψίνους.
,,Ἀλλ' ἐπεὶ Ποιμὴν ἐγενόμην Ῥωμαίων,
,,Ἀνεκάλυψα πόσον ψευδὴς ὁ βίος·
,,Εἶδόν μου τὴν καρδίαν οὐκ ἠρεμοῦσαν,
110 ,,Οὔτ' ἀρθῆν' ἔτ' ἐν ζωῇ δυνατὴν κείνῃ·
,,Διὸ δή μοι πρὸς ταύτην ἔρως ἐξήφθη.
,,Ἕως τότ' ἤμην ψυχὴ τρισκακοδαίμων
,,Τοῦ Θεοῦ μακρὰν καὶ φιλάργυρος ὅλως·
,,Καὶ νῦν, ὡς βλέπεις, ἐνταῦθα τιμωροῦμαι.

115 ,,Δῆλον ὧδε τί ποιεῖ φιλαργυρία,
,,Πρὸς κάθαρσιν τῶν ψυχῶν πρηνῶν κειμένων,
,,Οὔτ' ἐν τῷδ' ὄρει ποινή 'στι πικροτέρα.
,,Ὡς δ' ὄμμαθ' ἡμῶν οὐκ ἔτεινε πρὸς τἄνω,
,,Πεπηγότ' ὄντα πρὸς τὰ γήϊν', ὡσαύτως
120 ,,Δικαιοσύνη πρὸς τὴν γῆν ἔτρεψ' ὧδε.
,,Ὡς δ' ἔσβεσ' ἡμῶν φιλαργυρία πάντα
,,Ἔρωτα πρὸς ἀγαθοὺς σκοποὺς καὶ πράξεις,
,,Οὕτως ἡμᾶς συνέχει Δικαιοσύνη
,,Χεῖρας καὶ πόδας δετοὺς κἀν πέδαις ὧδε.
125 ,,Ὅσον τ' ἀρέσει τῷ δικαίῳ Δεσπότῃ
,,Μενοῦμεν ἀκίνητοι καὶ τεταμένοι."
Ἔκλινα γόνυ, καὶ λέγειν ἠβουλόμην·
Ἀλλ' ὡς ἠρξάμην, αὐτὸς ἀκοῇ μόνῃ
Τῆς ἐμῆς αἰδοῦς τὴν ἔνδειξιν νοήσας,
130 "Τίς," εἶπ', "αἰτία γονυπετεῖν ποιεῖ σε;"
Κἀγὼ πρὸς αὐτόν· "Χάριν τῆς σῆς ἀξίας
,,Τοὐμὸν εὐθὺ συνειδὸς παρώτρυνέ με."—
"Ὀρθοῦ τὸ γόνυ κἀνάστηθ', ἀδελφέ μου·
,,Οὐ δεῖ πλανᾶσθαι· σύνδουλος," ἀπεκρίθη,

135 "Εἰμί σοι κἄλλοις ὑπ' ἐξουσίαν μίαν.
„Εἴ ποτ' ἤκουσας εὐαγγελίου θείαν
„Φωνὴν κείνην λέγουσαν·" "Οὔτε γαμοῦσι,"
„Σαφῶς δύνασαι νοεῖν, πῶς οὕτω λέγω.
„Ἴθι νῦν, καὶ πλέον σ' ὧδ' οὐ θέλω μένειν·
140 „Κλαίειν γάρ μ' ἡ σὴ κωλύει παρουσία,
„Πρὸς τὴν πέπανσιν, ἧς ἐποιήσω λόγον.
„Ἀνεψιὰν ἔχω 'κεῖ τὴν Ἀλαγίαν,
„Ἀγαθὴν καθ' ἑαυτήν, ἣν μή γ' οἰκίας
„Ἡμῶν παραδείγματι γένηται φαύλη·
145 „Ἐπὶ τῆς γῆς δ' ἔμεινεν αὕτη μοι μόνη."

ΩΔΗ Κ'.

Οὔγων Καπέτος.—Ὁ Σεισμός.

Θέλησις πρὸς κρείττονα μάτην παλαίει·
Ὅθεν χαριζόμενος, καίπερ ἀέκων,
Εἵλκυσ' ὕδατος οὔπω μεστὸν τὸν σπόγγον.
Ἐκινήθην, προέβη τ' ἐμὸς Ἡγήτωρ
5 Δι' ἀοικήτων τόπων τοῦ κρημνοῦ πέριξ,
Ὡς παρὰ τείχους βαίνει τις τὰς ἐπάλξεις·
Οἱ γὰρ δακρυχέοντες κατὰ σταγόνας
Ἐκ τῶν ὀμμάτων ἐπὶ κακῷ τὸ σύμπαν
Πληροῦντι, προσήγγιζον ἐκ τἄλλου μέρους.
10 Κατάρατος εἴης σύ, λύκαιν' ἀρχαία,
Ἡ πλείους ἄλλων θηρῶν καταῤῥοφοῦσα
Ἄγρας τῇ πείνῃ τῇ σῇ πυθμένος ἄνευ!
Οὐρανέ, πρὸς οὗ τοὺς κύκλους δοκεῖ πάσας
Ἐπὶ γῆς μεταβολὰς ἐπαναφέρειν,
15 Πότ' ἐλεύσετ' οὖν ὁ ταύτην ἐκδιώξων;

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἡμεῖς ἐβαδίζομεν βραδεῖς τὸ βῆμα,
Κἀγὼ προσεῖχον σκιαῖς, ἃς ᾔσθανόμην
Κακοπαθῶς κλαιούσας κώδυρομένας·
Ἐκ τύχης τ' ἤκουσ'· "Ὦ γλυκεῖα Μαρία,"
Πρόσθ' ἡμῶν ψυχῆς τινος δεινῶς φωνούσης,
Ὡς ἐν ὠδῖσι τοκετοῦ γυνὴ πράττει,
Κἀπιλεγούσης· "Πτωχὴ τοσοῦτον ἦσθα,
„Ὅσον ἐκ τοῦ πενιχροῦ σπέους εἰκάσαι,
„Ἔνθ' ἀπέθεσο τὸν ἅγιόν σου φόρτον."
Ἔπειτ' ἤκουσα· "Φαβρίκιε γεννάδα,
„Πενίαν μᾶλλον σὺν ἀρετῇ προείλου,
„Ἢ μέγαν πλοῦτον κεκτῆσθαι σὺν κακίᾳ."
Τοσοῦτον ἤρεσάν μοι τοιοῦτοι λόγοι,
Ὥστε προέβην, ὅπως ἀναγνωρίσω
Τὴν ψυχήν, ἐξ ἧς ἐδόκουν ἐκφωνεῖσθαι.
Ἡ δ' ἔλεγ' ἔτι φιλοδωρίας ὅσας
Παρέσχε Νικόλαος παρθένοις κόραις,
Ἵν' εἰς τιμὴν νεότητ' αὐτῶν εὐθύνῃ.
"Ὦ ψυχή, καλοὺς οὕτω φράζουσα λόγους,"
Εἶπον, "λέγε μοι, τίς ἦσθα, καὶ πῶς μόνη

,,Σὺ τούς δ' ἀξίους ἀνακαινοῖς ἐπαίνους.
,,Οὐκ ἔσοντ' ἄνευ ἀμοιβῆς οἱ σοὶ λόγοι,
,,Ἂν ἐπανέλθω διανύσων βραχεῖαν
,,Τρίβον τῆς ζωῆς ὁρμώσης πρὸς τὸ τέρμα."
40 Ὁ δ', "Ἐρῶ σοι μὲν οὐχὶ κουφισμοῦ χάριν
,,Προσδοκωμένου 'κεῖθεν, ἀλλ' ὅτι λάμπει
,,Ἐν σοὶ πρὸ θανάτου σου χάρις τοσαύτη·
,,Ὑπῆρξα ῥίζα τοῦ κακοῦ δένδρου κείνου,
,,Ἀποστειροῦντος Χριστώνυμον γῆν πᾶσαν,
45 ,,Ὥστ' ἀγαθὸν δρέπεσθαι καρπὸν σπανίως.
,,Ἀλλ' εἰ Δούακον, Γάνδαυον, Νῆσοι, Βροῦγαι
,,Ἦσαν δυναταί, ταχεῖ' ἂν ἦν ἡ τίσις,
,,Ἣν ἐξαιτοῦμαι παρὰ τοῦ Κριτοῦ πάντων.
,,Ἐκαλούμην ἐπὶ γῆς Οὔγων Καπέτος·
50 ,,Γεννήτωρ ἦν Φιλίππων καὶ Λοδοΐκων,
,,Ὑφ' ὧν μέχρι νῦν κυβερνᾶται Γαλλία.
,,Υἱὸς ἦν κρεωπώλου τῶν Παρισίων·
,,Ὅτε βασιλεῖς δ' ἐξέλιπον ἀρχαῖοι
,,Πάντες, πλὴν ἑνὸς φαιὰν ἐσθῆτ' ἐνδύντος,
55 ,,Εὑρέθην ἔχων ἐν χερσὶ τὰς τοῦ Κράτους

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ἡνίας· καὶ δὴ τοσαύτην ἐκτησάμην
„Ἰσχύν, οὕτω τε φίλων κατέστην πλήρης,
„Ὥστε τὸ στέμμα τὸ χηρεῦον ἐτέθη
„Ἐπὶ κεφαλῆς υἱοῦ μου, κἀπὸ τούτου
60 „Ἤρξατ' Ἀνάκτων τὸ νῦν ἱερὸν γένος.
„Ἐφ' ὅσον ἡ μεγάλη προὶξ Προβριγκίας
„Οὐκ ἀφεῖλ' ἐμῆς οἰκίας τὴν αἰσχύνην,
„Μικρὸν ἠδύνατ', ἀλλ' οὐκ ἐποίει βλάβην.
„Ἔκτοτ' ἤρξατο σὺν ἰσχύϊ καὶ ψεύδει
65 „Τῶν ἁρπαγῶν· εἶλε γὰρ εἶτ' εἰς συγγνώμην
„Πόντικον, Νορμαννίαν καὶ Βασκονίαν.
„Κάρολος ἐλθὼν εἰς Ἰταλίαν, θῦμα
„Τὸν Κορραδῖνον εἰς συγγνώμην ἐποίει,
„Καὶ Θωμᾶν ἔπεμψ' οὐρανόσ' εἰς συγγνώμην·
70 „Βλέπω καιρὸν οὐκέτι μακρὰν ὁπότε
„Ἄλλος ἐξορμᾷ Κάρολος ἐκ Γαλλίας,
„Αὐτὸν κοικείους γνωστοτέρους ποιήσων.
„Ἐξέρχετ' ἄνευ ὅπλων, καὶ μόνον λόγχῃ,
„Δι' ἧς ἤθλησ' Ἰούδας, καὶ ταύτῃ τρώσας
75 „Διαῤῥήγνυσι Φλωρεντίας γαστέρα.

„Ἐντεῦθεν οὐ γῆν, ἀλλ' ἁμάρτημα καΐσχος
„Δι' ἑαυτὸν κερδανεῖ, τοσούτῳ μεῖζον,
„Ὅσῳ τοιοῦδ' ὀνείδους ἧττον φροντίζει.
„Βλέπω τὸν ἄλλον, ὃς νηὸς ληφθεὶς ἤδη
80 „Ἐξῆλθ', ἰδίαν πωλοῦντα θυγατέρα
„Συνθήκαις, ὡς πειραταὶ τὰς αὐτῶν δούλας.
„Πλεονεξία, τί πλέον ἂν ποιήσαις,
„Ἐπεὶ γενέθλην ἐμὴν ὤθησας οὕτως,
„Ὥστ' ἰδίας κήδεσθαι σαρκὸς μηκέτι;
85 „Ἵν' ἧττον δοκῇ κακὸν τὸ πρὶν καὶ μέλλον,
„Βλέπω κρίνον εἰσιὸν εἰς Ἀναγνίαν,
„Παρ' ἐπιτρόπῳ θ' αὐτοῦ Χριστὸν δεσμώτην.
„Αὐτὸν εἰσαῦθις ἐμπαιζόμενον βλέπω,
„Ὄξος καὶ χολὴν ποτιζόμενον πάλιν,
90 „Καὶ σταυρούμενον μεταξὺ λῃστῶν ζώντων.
„Βλέπω νέον Πιλάτον οὕτω λυσσῶντα,
„Ὥστ' οὐ κορεσθείς, ἀλλ' ἄνευ ῥητοῦ νόμου,
„Ἅρπαγας εἰς τὸν Ναὸν ἐκτείνει χεῖρας.
„Ὦ Κύριέ μου, πότε χαρμονῆς πλήρης
95 „Τὴν ἐκδίκησιν ὄψομ', ἣν ἀπορρήτως

„Κρύπτουσ' ὀργὴ σὴ γλυκεῖαν καταστήσει;
„Ὅ, τι περὶ τῆς μόνης ἔλεγον Νύμφης
„Θείου Πνεύματος, σέ τε πρός με τραπῆναι
„Ἐποίησ', αἰτοῦντά με διασαφήσεις,
100 „Τοῦτ' εὐχῆς ἡμῶν κείμενόν ἐστι πάσης,
„Διαρκούσης ἡμέρας· ἀλλ' ὅμως νύκτωρ
„Ἐναντίους ἀντ' αὐτῶν φωνοῦμεν λόγους.
„Τότε Πυγμαλίωνα παλιλλογοῦμεν,
„Ὃν προδότην καὶ κλέπτην καὶ πατροκτόνον
105 „Ἐποίησ' ἀκόρεστος δίψα χρυσίου·
„Καὶ τληπάθειαν τοῦ φιλαργύρου Μίδα,
„Ὃς αἰτήσεως ἐπιτυχὼν ἀπλήστου,
„Καταγέλαστος ἔτι καὶ νῦν κατέστη.
„Εἶτα μωρίας Ἄχαρ μέμνηται πᾶς τις,
110 „Τἀνάθημα κλέψαντος, ὥστ' αὐτὸν ἔτι
„Ἐνταῦθα θυμὸς ὀργῆς Ἰησοῦ δάκνει.
„Ἑξῆς ψέγομεν Σαπφείραν σὺν συζύγῳ·
„Ἡλιόδωρον λακτισθέντ' ἐκβοῶμεν,
„Καὶ περιηχεῖ τοὖρος πᾶν αἴσχους φήμῃ
115 „Ὁ Πολύδωρον φονεύσας Πολυμνήστωρ.

„Τέλος ἐνταῦθα κραυγάζομεν. "Ὦ Κράσσε,
„, Φράσον, ὡς εἰδώς, τίς ἡ τοῦ χρυσοῦ γεῖσις.
„Ἐνίοτε φωνοῦμεν ὁ μὲν ὀξέως,
„Ὁ δ' ὑφειμένως, καθὰ κεντεῖ τὸ πάθος,
120 „Πῇ μὲν ταχέως, πῇ δὲ βραδέως βάινειν.
„Ὅτ' οὖν ἡμέρας τοὺς καλοὺς κείνους λόγους
„Ἐφώνουν, οὐκ ἦν μόνος· ἀλλ' οὐδεὶς ὧδε
„Πλησίον ἦν ἐπαίρων τὴν φωνὴν ἄλλος."
Ἤδη κατελίπομεν τὸ πνεῦμ' ἐκεῖνο,
125 Ἀγωνιῶντες τὴν ὁδὸν διανύσαι
Τοσοῦτον, ὅσον ἡμῖν τοῦτ' ἐνεχώρει,
Ὅτ' ᾐσθόμην ὡς καταπίπτον τι πρᾶγμα,
Τοῦρος συσσειόμενον, καί με κατέσχε
Ψῦχος, οἷον ἀνθρώπου τεθνηξομένου.
130 Οὐ δὴ σφόδρ' οὕτως ἡ Δῆλος ἐκλονεῖτο,
Πρὶν ἐν αὐτῇ καλιὰν ἡ Λητὼ πήξῃ,
Ἵν' οὐρανῶν ὀφθαλμοὺς δύο λοχεύσῃ.
Εἶτ' ἤρξατο πάντοθεν κραυγὴ τοιαύτη,
Ὥστε πρὸς ἐμὲ Προστάτης ἐμὸς ἦλθε,
135 Λέγων· "Μὴ δίσταζ', ἐφ' ὅσον ὁδηγῶ σε."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

"Δόξ' ἐν ὑψίστοις Θεῷ" συνῆδον πάντες,
Ὡς ἐνόησα τοῦτο προβὰς πλησίον,
Ἔνθεν ἀκούειν τῶν ὕμνων ἠδυνάμην.
Ἐμείναμεν ἀτρεμεῖς κἀν ἀπορίᾳ,
Ὡς οἱ ποιμένες τούσδ' ἀκούσαντες πρῶτον,
Ἕως ἔπαυσ' ὁ σεισμὸς μετὰ τῶν ὕμνων.
Εἶτ' ἐπανελάβομεν τὴν ἡμετέραν
Ἱερὰν ὁδόν, βλέποντες θρηνῳδούσας
Τὰς χαμαιπετεῖς σκιὰς ὡς τὸ πρὶν πάλιν.
Οὔποτ' ἄγνοια τόσον ἀδημονοῦντι
Ἐνέβαλέ μοι πόθον τοῦ συνιέναι,
Ἐὰν μή γ' ἐν τῷδ' ἡ 'μὴ μνήμη πλανᾶται,
Ὅσην τότ' ἔχειν σκεπτόμενος ἐδόκουν·
Οὔτ' ἐκ τῆς σπουδῆς ἐπερωτᾷν ἐτόλμων,
Οὔτ' ἠδυνάμην ἀπ' ἐμαυτοῦ τι βλέπειν·
Καὶ δὴ σκεπτικὸς ἔβαινον καὶ δειμαίνων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΚΑ΄.

Στάτιος.—Ὁ Βιργίλιος ἀναγνωρίζεται τῷ Στατίῳ.

Ἡ μὴ κορεννυμένη φυσικὴ δίψα
Πλὴν δι' ὕδατος, οὗπερ ἡ Σαμαρεῖτις
Ἤτησ' ἐκείνη γυνή ποτε τὴν χάριν,
Κατέτρυχέ με, καὶ σπουδή με παρώρμα
5 Πρὸς τὴν ὁδὸν κατόπιν Ἡγήτορός μου,
Συναχθόμενον ταῖς δικαίαις βασάνοις.
Ἰδοὺ δή, καθὼς Λουκᾶς ἱστορῶν γράφει
Τὸν Χριστὸν δυσὶ παροδίταις φανῆναι
Ἄρτι λαγόνων ἐξελθόντα τοῦ τάφου,
10 Ἡμῖν ἐφάνη σκιὰ βαίνουσ' ὀπίσω
Ἡμῶν, καὶ τὸ πεπτωκὸς πλῆθος ὁρῶσα.
Οὔπω δ' ἡμᾶς ἰδόντας προσεῖπε πρώτη·

"Ἀδελφοί, Θεὸς ὑμῖν εἰρήνην δῴη."
Ἐστράφημεν παρευθύς· ἐμὸς δ' Ἡγήτωρ
Αὐτὴν ἀντησπάσατο νεύματι σπεύσας·
Εἶτ' ἤρξατ'· "Εἴθε σ' ἐν χορῷ τῶν μακάρων
„Θείη τἀληθὲς Ἀρχεῖον ἐν εἰρήνῃ,
„Ὅ μ' εἰς ἄφθιτον μετέστησ' ἐξορίαν."—
"Πῶς;" εἶπε συμβαδίζουσ' ἡμῖν ἐν τάχει,
"Εἴγ' ἐστὲ σκιαὶ θεῷ μὴ προσδεκτέαι,
„Τίς ἤγαγ' ὑμᾶς διὰ κλίμακος τῆσδε;"
Ἐμὸς δ' Ἡγήτωρ· "Ἂν προσβλέψῃς ἃ φέρει
„Ἄγγελός τ' ἐχάραξεν αὐτῷ σημεῖα,
„Συμβασιλεύσοντ' ἀγαθοῖς αὐτὸν γνώσῃ.
„Ἀλλ' ὡς ἡ νήθουσ' ἡμέρας τε καὶ νύκτωρ
„Οὔπω γ' ἐκένωσ' αὐτοῦ τὴν ἠλακάτην,
„Ἥνπερ ἡ Κλωθὼ προώρισεν ἑκάστῳ,
„Ἡ ψυχὴ τοῦδ' οὖσ' ἀδελφὴ σοῦ τ' ἐμοῦ τε
„Ἐνθάδ' ἀνελθεῖν οὐκ ἂν δύναιτο μόνη,
„Ὡς οὐ βλέπουσα καθ' ὅνπερ ἡμεῖς τρόπον·
„Ὅθεν ἐξῆλθον τῆς ὑπόχθονος χάσμης
„Αὐτὸν καθοδηγήσων καὶ συνοδεύσων,

,,Ὅσον ἡ 'μὴ δύναται Σχολὴ προάγειν.
,,Ἀλλ' ἡμῖν φράσον, εἴγ' οἶσθα, πῶς τοσοῦτον
35 ,,Ἄρτι τοῦρος ἐσείσθη, πῶς θ' ὁμοφώνως
,,Πάντες ἔκραζον ἄχρις ὑγρῶν προπόδων."
Ταῦτ' ἐρωτῶντος, οὕτω τὸν ἐμὸν πόθον
Ἀρθέντ' ᾐσθόμην, ὥστ' ἐξ ἐλπίδος μόνης
Ἧττον ἐγένετό μοι φλέγουσ' ἡ δίψα.
40 Ἤρξατο δ' οὕτως· "Οὐδὲν ἄνευ τῆς θείας
,,Βουλῆς αἰσθάνεταί τις ἐν ὄρει τῷδε,
,,Οὐδέν τε τοῦ συνήθους ἔξω συμβαίνει.
,,Οὐδὲν ὑπόκειτ' ἐνταῦθ' εἰς ἀλλοιώσεις.
,,Τοῦτο δ' ἐστὶ δυνατὸν ὅτε ψυχή τις
45 ,,Ἐν οὐρανῷ γίνεται δεκτή, κοὐκ ἄλλως.
,,Οὐ χάλαζα γάρ, οὐ νιφετός, οὐκ ὄμβρος,
,,Δρόσος ἢ πάχνη πίπτει ποτ' ἀνωτέρω
,,Τῆς βραχείας κλίμακος τριῶν βαθμίδων·
,,Οὔτε πυκνὰ φαίνετ', οὔτ' ἀραιὰ νέφη,
50 ,,Οὐ στεροπή τις, οὐ Θαύμαντος θυγάτηρ,
,,Ἡ συχνῶς τόπον ἀλλάσσουσ' ἐκεῖ κάτω
,,Ὁ ξηρὸς ἀτμὸς οὐκ ἀνέρχεται πέραν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Τῆς ἐσχάτης ὧν εἶπον τριῶν βαθμίδων,
„Ἐφ' ἧς ἔχει 'πίτροπος Πέτρου τοὺς πόδας.
55 „Σείει μικρὸν τάχ' ἢ πολὺ κατωτέρω·
„Ἀλλ' ἐξ ἀέρος ἐν τῇ γῇ κρυπτομένου,
„Οὐκ οἶδ' ὅπως, οὐδέποτ' ἔσεισ' ἐνταῦθα.
„Σείεται τοῦρος, ὅθ' ἑαυτὴν ψυχή τις
„Αἰσθανομένη καθαρὰν πρὸς τὴν ἄνω
60 „Πτῆσιν ἐφορμᾷ, κραυγή θ' ἥδε συμβαίνει·
„Τὴν κάθαρσιν δείκνυσι θέλησις μόνη·
„Ἐλευθέρα γὰρ τοῦ μεταλλάξαι στάσιν,
„Κυριεύει τῆς ψυχῆς, τούτῳ χαιρούσης.
„Καὶ θέλει μὲν ἐξ ἀρχῆς, ἀλλά γε θείᾳ
65 „Δίκῃ πρὸς πόθον ὠθεῖται τῶν βασάνων,
„Ὥσπερ ἐπόθει ζῶσα τὴν ἁμαρτίαν.
„Κἀγὼ κατακείμενος ἐν ἄλγει τῷδε
„Πλέον τῶν πέντ' αἰώνων, ᾐσθόμην μόνον
„Νῦν ἐλεύθερον πόθον κρείττονος ἕδρας.
70 „Τοῦδ' ἕνεκ' ᾔσθου τοῦ σεισμοῦ καὶ πνευμάτων
„Εὐσεβῶν πρὸς Κύριον ἤκουσας αἴνους,
„Ἵν' αὐτὰ τάχιστ' εἰς ἑαυτὸν καλέσῃ."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Αὐτῷ ταῦτ' εἶπ'· ἐπεὶ δὲ χαίρει τις πίνων
Τοσοῦτον, ὅσον ἡ δίψ' ἐστὶ μεγάλη,
Οὐκ ἔχω λέγειν ὅσον εὐηρεστήθην.
Ἐμὸς δ' Ἡγήτωρ· "Βλέπω νῦν ἐν δικτύοις
,,Πῶς ἁλίσκεσθε, καὶ πῶς ἐλευθεροῦσθε,
,,Σεισμός τε πόθεν, καὶ τίς αἴνων αἰτία.
,,Ἀλλά μοι φράσον, τίς ἦσθα, δεομαί σου,
,,Πῶς τ' ἐπ' αἰῶνας τοσούτους ὧδε κεῖσαι
,,Χαμαιπετής, ἵν' ἐκ σῶν λόγων νοήσω."—
"Ὅτ' ἐτιμώρησ' ὁ Τῖτος, βοηθείᾳ
,,Τοῦ Παντάνακτος, τὰς πληγὰς καὶ τὸ ῥεῦσαν
,,Ἐξ αὐτῶν αἷμα, πωληθὲν ὑπ' Ἰούδα,
,,Ὄνομ' ἔφερον ἐν γῇ μόνιμον λίαν,
,,Λίαν τ' ἔντιμον," ἀπεκρίθη τὸ πνεῦμα,
"Περικλεὲς μέν, ἀλλ' οὔπω δὴ πιστεύσας.
,,Οὕτως ἔνθους καὶ γλυκεῖ' ἦν ἡ φωνή μου,
,,Ὥστε Τολωσαῖόν πέρ μ' εἵλκυσε Ῥώμη,
,,Ἔνθ' ἠξιώθην κοσμεῖν κροτάφους μύρτῳ.
,,Στάτιον ἔτι καλεῖ μ' ὁ πέραν κόσμος·
,,Ἦδον τὰς Θήβας, εἶτ' Ἀχιλλέα μέγαν·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ἀλλ' ἰὼν σὺν δευτέρῳ πέπτωκα φόρτῳ.
„Τὸν ἐμὸν οἶστρον ἐξῆψαν οἱ σπινθῆρες
„Τῆς ζωπυρησάσης με φλογὸς τῆς θείας,
„Ἐξ ἧς ἐνεφλέχθησαν πλείους χιλίων·
„Τῆς Αἰνειάδος, φημί, τῆς ἐν ποιήσει
„Οὔσης μοι μητρὸς ἅμα τε καὶ τιθήνης,
„Ἧς ἄνευ οὐδὲ δραχμῆς σταθμὸν ἂν εἷλκον.
„Ἀλλ' εἴ μοι ζῆν ἐπὶ γῆς ἦν, ἔτι ζῶντος
„Βιργιλίου, συνῄνουν ἓν ἔτος μεῖναι
„Πλέον ἢ δέον πρὶν ἐντεῦθεν ἐξέλθω."
Βιργίλιος ταῦτ' ἀκούσας πρός μ' ἐστράφη
Ὄψει, καίπερ σιγώσῃ, λεγούσῃ· "Σίγα."
Θέλησις δ' οὐ δύναται πᾶν ὅ, τι θέλει.
Γέλως γὰρ καὶ δάκρυα τόσον τῷ πάθει
Ἐγγύθεν ἀκολουθοῦσ', ἐξ οὗ γεννῶνται,
Ὥστε θέλησις αὐτῶν οὐ κατισχύει.
Ἐμειδίασ' οὖν, ὡς ἄνθρωπος νευστάζων.
Σιγήσασα δ' ἡ σκιὰ προσέβλεψέ με
Εἰς ὀφθαλμούς, ἔνθ' ὁ νοῦς δηλοῦται μᾶλλον·
Εἶτ' εἶπεν· "Εἴθ' εὖ σὸν μέγ' ἔργον τελέσαις·

,,Διὰ τί πρός με τὸ σὸν πρόσωπον ἄρτι
,,Μειδιάματος ἔδειξε λαμπηδόνα;"
115 Ὡς δ' ἦν ἑκατέρωθεν κατειλημμένος,
Τοῦ μὲν σιγᾷν, τοῦ δὲ λέγειν αἰτοῦντος,
Ἤσχαλλον· αἰσθόμενος δ' ἐμὸς Προστάτης,
"Μὴ φοβοῦ λαλεῖν," εἶπεν, "ἀλλ' αὐτῷ φράσον
,,Ἄνευ δισταγμῶν ἅπερ παρὰ σοῦ θέλει
120 ,,Μαθεῖν τοσαύτῃ σπουδῇ καὶ προθυμίᾳ."
Ἐγὼ τότ' εἶπον· "Ἴσως θαυμάζων ἔχεις,
,,Ἀρχαῖον πνεῦμα, τοῦ μειδιάματός μου·
,,Ἀλλὰ βούλομαί σ' ἔτι μᾶλλον θαυμάζειν.
,,Οὗτος, ὅ μου τὰς ὄψεις εὐθύνων ἄνω,
125 Ὁ Βιργίλιός ἐσθ', ὃς ὑπόδειγμά σοι
Ἦν ὅτ' ᾖδες εὐεπῶς Θεούς τε κἄνδρας.
Εἰ δ' ἄλλην φρονεῖς αἰτίαν γέλωτός μου,
Ἄφες ὡς οὐκ ἀληθῆ· γνῶθι δὲ μόνην
Εἶναι τοὺς λόγους, οὓς εἶπας περὶ τούτου."
130 Ἤδη κύπτων ἦν ἀσπάσασθαι Προστάτου
Ἐμοῦ τοὺς πόδας· ὁ δ', "Ἄπαγε," προσεῖπεν,
"Ἀδελφέ· σκιὰ γὰρ εἶ καὶ σκιὰν βλέπεις."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ὁ δ' ἀνορθωθείς· "Νῦν δύνασαι νοῆσαι,
,,Ὅσον ὁ πρὸς σὲ σφοδρὸς ἔρως με φλέγει·
135 ,,Κενότητος γὰρ ἡμῶν ἐπελαθόμην,
,,Σκιᾷ χρώμενος ὡς πράγματι παγίῳ."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΚΒ'.



Ὁ Ἕκτος Κύκλος.—Οἱ Λαίμαργοι.—Τὸ Καλλίκαρπον Δένδρον.

Ἡμῶν ὄπισθεν Ἄγγελος ἔμειν' ἤδη,
Ἄγγελος, ὃς εἰς ἕκτον ηὔθυνε κύκλον,
Ἐν ἐξ ἐμῆς ὄψεως γράμμ' ἐξαλείψας,
Ἡμῖν τ' ἔλεγε περὶ δικαιοσύνης
Πόθον ἐχόντων, "Μάκαρες," ἐπιλέγων,
"Οἱ διψῶντες," καὶ λέξιν οὐ προσθεὶς ἄλλην.
Ἐγὼ δὲ κουφότερος ἢ 'πὶ τῶν ἄλλων
Ὀπῶν ἔβαινον οὕτως, ὥστ' ἀκαμάτως
Εἰπόμην τοῖς ὠκέσι πνεύμασιν ἄνω,
Ὅτ' εἶπε Βιργίλιος· "Ὁ φλεχθεὶς ἔρως
,,Ὑπ' ἀρετῆς ἔφλεξεν ἀεί τιν' ἄλλον,
,,Εἰ μόνον ἡ φλὸξ αὐτοῦ γένοιτο δήλη.
,,Ὅθεν, ἀφ' οὗ παρ' ἡμᾶς χρόνου κατῆλθεν
,,Ἐν Ἅδου προαυλίοις Ἰουβενάλις,

15 ,,Καὶ τὴν σὴν πρὸς ἔμ' ἐδήλωσεν ἀγάπην,
,,Τοιαύτη τις ἦν ἡ πρός σ' εὐμένειά μου,
,,Οἵαν οὐδείς ποτ' ᾔσθετο πρὸς ἀγνῶτα.
,,Ὥσθ' ἡ κλίμαξ δοκεῖ μοι νῦν βραχεῖ' ἥδε.
,,Ἀλλά μοι φράσον, ὡς φίλῳ τε συγχώρει,
20 ,,Εἴ μ' ὑπέρμετρον ἀποχαλινοῖ θάῤῥος·
,,Καί μοι τὰ νῦν φίλος ὤν, ὡς φίλῳ λάλει.
,,Πῶς εὑρεῖν ἠδύνατ' ἂν ἐν τῷ σῷ στήθει
,,Ἕδραν φιλαργυρία, μεταξὺ τόσης
,,Σοφίας, ἧς ἦσθ' ἐν σαῖς μελέταις πλήρης;"
25 Τὸν Στάτιον οἱ λόγοι τὸ πρῶτον οὗτοι
Ἔτρεψαν εἰς γέλωτα λεπτόν· εἶτ' εἶπε·
"Πᾶς μοι σὸς λόγος φίλον δεῖγμ' ἐστ' ἀγάπης.
,,Ὄντως φαίνεται τὰ πράγματα πολλάκις
,,Ψευδῆ παρέχοντ' ἀμφιβολίας ὕλην,
30 ,,Ὡς κρυπτῆς οὔσης τῆς ἀληθοῦς αἰτίας.
,,Ἐκ τῆς ἐρωτήσεως τῆς σῆς εἰκάζω
,,Ζῶντά με φιλάργυρον εἶναι φρονεῖν σε,
,,Ἴσως διὰ τὸν κύκλον, ἔνθ' ἤμην, κεῖνον.
,,Ἴσθι γοῦν, ὅτι φιλαργυρία λίαν

35 „Ἀπ' ἐμοῦ μακρὰν ἦν, κἀμετρίαν τήνδε
„Ἐκόλασαν χίλιαι τροπαὶ σελήνης.
„Εἰ δὲ μή σοι νοῦν ἐμὸν πάνυ προσεῖχον,
„Ἀναγνοὺς τὸ χωρίον, ἔνθ' ἀνακράζεις,
„Ὥς τις ἐν ὀργῇ πρὸς τὴν ἀνθρώπων φύσιν·
40 'Τί οὐ βιάζῃ ποιεῖν, ὦ σὺ παμφάγε
,Πεῖνα τοῦ χρυσοῦ, τὰς τῶν θνητῶν ὀρέξεις;'
„Ὑπέστην ἂν ἐν κύκλοις ἀλγεινοὺς ἄθλους.
„Τότ' ἔγνων, ὡς ἀμέτρως τὰ πτέρ' ἀνοίγειν
„Ἡ χεὶρ ἠδύνατ' εἰς τὸ δαπανᾷν· ὅθεν
45 „Μετεμελήθην ταύτῃ κακίαις τ' ἄλλαις.
„Πόσοι δὴ καρταῖς ἀναστήσονται κόμαις,
„Ἀγνοοῦντες, ὡς ἐκπλύνει πταῖσμα τόδε
„Μετάνοι' ἐπὶ ζωῆς, ὥρας τ' ἐσχάτης.
„Ἴσθι δ', ὡς τἀντιστοιχοῦν πταῖσμ' ἀντιθέτως
50 „Ἐκ διαμέτρου πρὸς ἁμαρτίαν ἄλλην
„Ὧδ' ἀποξηραίνεται σὺν αὐτῇ θάλλον.
„Εἰ τοίνυν πρὸς κάθαρσιν ἐμὴν ἐτέθην
„Ἐν μέσῳ τῶν ἐνόχων φιλαργυρίας,
„Τοῦτο συνέβη διὰ πταῖσμ' ἐναντίον."—

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

55 "'Αλλ' ὁπότ' ᾔδες τἀπηνῆ φονικά τε
„Ὅπλα τοῦ διπλοῦ πένθους τῆς Ἰοκάστης,"
Εἶπεν ἀοιδὸς βουκολικῶν ᾀσμάτων,
"Κλειώ τε σὺν σοὶ κιθαρίζουσαν εἶχες,
„Οὔπω προσελθὼν εἰς τὴν πίστιν ἐῴκεις,
60 „Ἧς ἄνευ θ' οὔποτ' ἤρκεσ' ἀγαθουργία.
„Εἰ δ' οὕτως ἔχει, τί φῶς, τίνες λαμπτῆρες
„Τοῦ σκότους σ' ἐξήγαγον, ὥστε σ' ἱστία
„Τὰ σὰ πρὸς τὸν 'Αλιέ' εὐθύνειν εἶτα;"
'Ο δὲ πρὸς αὐτόν· "Σὺ πρῶτος ηὔθυνάς με
65 „Πρὸς Παρνασόν, ἔνθ' ἐποτίσθην ἐν ἄντροις,
„Καὶ πρὸς Θεὸν σὺ πρῶτος ἐφώτισάς με.
„Ἔπραξας ὡς ὁ βαίνων νύκτωρ καὶ φέρων
„Ὄπισθεν φανόν, αὐτὸν οὐκ ὠφελοῦντα,
„Ἀλλὰ ποιοῦντα σοφοὺς τοὺς ἑπομένους,
70 „Ὅτ' εἶπας· "'Αναγεννᾶτ' αἰώνων τάξις·
,Θέμις ἐπάνεισ', ἀνδρῶν τε πρῶτοι χρόνοι,
,Καὶ γενεὰ κάτεισιν ὑψόθεν νέα.'
„Πρὸς σοῦ ποιητής, πρὸς σοῦ Χριστιανός τε
„Γέγον'· ἀλλ' ὅπως εὖ γνῷς ἃ διαγράφω,

75 ,,Πρὸς χρωματισμὸν νῦν ἐκτενῶ τὴν χεῖρα.
,,Ὁ κόσμος ἤδη συνάπας ἦν ἐγκύμων
,,Τῆς ἀληθοῦς πίστεως, διασπαρείσης
,,Ὑπὸ τῶν ἀγγελτήρων τοῦ θείου Κράτους·
,,Ὁ δὲ σὸς λόγος, οὗπερ ἐμνήσθην ἄρτι,
80 ,,Οὕτω συνῇδε τοῖς τῶν νέων κηρύκων,
,,Ὥστ' ἐπιφοιτᾷν αὐτοῖς δι' ἔθους εἶχον.
,,Εἶτ' ἔγνων αὐτοὺς οὕτως ἁγίους, ὥστε,
,,Ἐπὶ Δομιτιανοῦ διωγμῶν, ἄνευ
,,Ἐμῶν δακρύων οὐκ ἦν αὐτῶν ὁ θρῆνος,
85 ,,Ἐφ' ὅσον τ' ἐπὶ τῆς γῆς ἦν, ἐβοήθουν
,,Αὐτοῖς, ὧν ἤθη σώφρον' ἐποίησέ με
,,Παρ' οὐδὲν τίθεσθ' αἱρέσεις πάσας ἄλλας.
,,Πρὶν δ' εἰς ποταμὸν τῶν Θηβῶν ἀγαγεῖν με
,,Ἕλληνας ἐν ποιήσει, τὸ βάπτισμ' ἔσχον·
90 ,,Ἀλλὰ Χριστιανὸς ἦν κρύβδην ἐκ φόβου,
,,Ἐπὶ μακρὸν πρεσβεύων πολυθεΐαν.
,,Διὰ ψυχρότητα τήνδ' ἦν ἐν τετάρτῳ
,,Κύκλῳ τέσσαρας αἰῶνας περιτρέχων.
,,Σὺ τοίνυν, ὅστις ἀφῄρηκας τὸν πέπλον

95 ,,Τὸν τἀγαθόν, ὅ φημι, καλύπτοντά μοι,
,,Ἐν ᾧ πορευσόμεθα μακρὸν πρὸς τἄνω,
,,Φράσον, ποῦ Τερέντιός ἐστιν ἀρχαῖος,
,,Καικίλιος, εἴγ' οἶσθα, Πλαῦτος καὶ Βάῤῥων,
,,Εἴ τ' εἰσι κατάδικοι, κἀν τίνι κύκλῳ."—
100 "Οὗτοι, Πέρσιος κἀγὼ καὶ πλείους ἄλλοι,"
Βιργίλιος εἶπ', "ἐσμέν, Ἕλλην τ' ἐκεῖνος,
,,Ὃν αἱ Μοῦσαι θήλασαν ὑπὲρ πάντ' ἄλλον,
,,Ἐν εἱρκτῆς ὑπόχθονος τῷ πρώτῳ κύκλῳ.
,,Συχνάκις περὶ τοὔρους συνομιλοῦμεν,
105 ,,Ὃ τιτθῶν ἡμῶν ἐμμενής ἐστιν ἕδρα.
,,Εὐριπίδην ἔγνων 'κεῖ καὶ Σιμωνίδην,
,,Ἀνακρέοντ', Ἀγάθων', ἄλλους τε πλείους
,,Ἕλληνας, ὧν κορυφὰς κοσμοῦσι δάφναι.
,,Ἐκεῖ δὴ συνέτυχον σαῖς ἡρωΐναις,
110 ,,Ἀντιγόνῃ, κ' Ἀργείᾳ καὶ Δηϊπύλῃ,
,,Ἰσμίνῃ τ', εἴπερ ποτέ, βαρυθυμούσῃ.
,,Ἡ τὴν Λάγκειαν δείξασ' ἐκεῖθ' ὁρᾶται,
,,Ἥ τε θυγάτηρ Τειρεσίου καὶ Θέτις,
,,Δηϊδάμειά τ' ἀδελφαῖς αὐτῆς ἅμα."

115 Οἱ δὲ ποιηταὶ σιγῶντες ἦσαν ἄμφω,
Ἐκ νέου τε προσεῖχον ἑαυτῶν πέριξ,
Τήν τε κλίμακα καὶ πλευρὰς ἀναβάντες.
Αἱ τῆς ἡμέρας τέσσαρες θεραπίδες
Παρῆλθον ἤδη· τὸ τοῦ ῥυμοῦ δ' ἡ πέμπτη
120 Πυρόεν κέρας ηὔθυν' ἔτι πρὸς τἄνω,
Ὅτ' εἶπ' ἐμὸς Ἡγήτωρ· "Οἴομαι δέον
,,Τρέπειν ἡμᾶς δεξιὰν πρὸς τοὐκτὸς ἄκρον,
,,Περιϊόντας, ὡς εἰώθαμεν, τοῦρος."
Ὥστ' ἦν νῦν ἡμῖν ἡ συνήθει' ἡγέτις·
125 Ὁδόν τ' ἐβαδίζομεν ἧττον ὑπόπτως,
Συναινούσης τῆς σεμνῆς ψυχῆς ἐκείνης.
Οὗτοι μὲν προέβαινον· ἐγὼ δὲ μόνος
Ὄπισθεν ἦν ἀκούων αὐτῶν τοὺς λόγους,
Τὴν πρὸς ποίησιν σύννοιάν μοι διδόντας.
130 Ἀλλ' αἴφνης διέκοψε τὰς μελιῤῥύτους
Συνομιλίας δένδρον ἐν ὁδοῦ μέσῳ
Φανὲν καὶ φέρον καρποὺς καλοὺς κ' εὐώδεις.
Ὡς δ' ἐλάτης οἱ κλῶνες ἄνω μειοῦνται
Βαθμηδόν, οὕτως οἱ κάτω δένδρου τοῦδε,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

135 Ἵν', ὡς οἴομαι, μηδεὶς ἐπαναβαίνῃ.
Ἐκ πλευρᾶς τῆς τὴν ὁδὸν ἡμῖν κλειούσης
Ἔπιπτ' ἀφ' ὕψους τοῦ κρημνοῦ λαμπρὸν ὕδωρ
Ἐπισκεδαννύμενον ἐπὶ τὰ φύλλα.
Ὡς δ' οἱ ποιηταὶ προσήγγισαν τῷ δένδρῳ,
140 Φωνή τις ἐξῆλθ' ἐκ μέσου τῆς φυλλάδος,
"Οὐ φάγεσθε," κράζουσα, "τοῦ καρποῦ τοῦδε."
Εἶτ' εἶπε· "Μᾶλλον ἐφρόντιζε Μαρία
,,Ἵν' ἔντιμοι καὶ πλήρεις ὦσιν οἱ γάμοι,
,,Ἡ στόματος αὐτῆς, ὃ νῦν ἡμᾶς σώζει.
145 ,,Καὶ Ῥωμαΐδες εὐχαρίστως ἀρχαῖαι
,,Εἶχον ὕδωρ πρὸς πόσιν, καὶ Δανιῆλος
,,Τροφὴν παρορῶν ἐκτήσατο σοφίαν.
,,Ὁ πρῶτος αἰὼν ἦν ὡς χρυσὸς ὡραῖος,
,,Ποιῶν ἐυχύμους πεινῶντι τὰς βαλάνους,
150 ,,Καὶ νέκταρ πάντα ῥύακα τῷ διψῶντι.
,,Μέλι κἀκρίδες τὰ μόνα βρώματ' ἦσαν
,,Τὰ τὸν Βαπτιστὴν θρέψαντ' ἐν ταῖς ἐρήμοις·
,,Ἀνθ' ὧν ἐστιν ἔνδοξος, οὕτω τε μέγας,
,,Ὡς καταδείκνυτ' ἐν τοῖς Εὐαγγελίοις.

ΩΔΗ ΚΓ'.

Φορέσης.

Ἐν ᾧ δ' ἔβλεπον τὴν χλοερὰν φυλλάδα
Ἀτενῶς, καθὼς εἴωθεν ὁ τὸν βίον
Εἰς ἀνίχνευσιν ὄρνιθος κατατρίβων,
Ἔλεγ' ὁ πλέον ἢ πατήρ μου· "Τεκνίον,
5 ,,Ἄγε δή· καὶ γὰρ τὸν ἡμῖν ὁρισθέντα
,,Καιρὸν προὐργιαίτερον δαπανητέον."
Οὐχ ἧττον τάχιστ' ἔτρεψ' ὄψιν καὶ βῆμα
Ἐγγὺς τῶν Σοφῶν, οὕτω συνομιλούντων,
Ὥστ' ἄμοχθόν μοι τὴν πορείαν ποιεῖσθαι.
10 Ἀλλ' ἰδοὺ μολπὴ καὶ κλαυθμὸς ἅμ' ἠκούσθη
"Κύριε τὰ χείλη μου," τρόπῳ τοιῷδε,
Ὥστ' ᾐσθόμην ἐν ταὐτῷ λύπην καὶ τέρψιν.
"Ὦ γλυκὺ πάτερ, τίπτ' ἔσθ' ὅπερ ἀκούω;"
Εἶπον· ὁ δέ· "Βαίνουσαι σκιαὶ τάχ' ἴσως
15 ,,Λυσόμεναι τὸν δεσμὸν ἑαυτῶν χρεούς."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ὡς δ' ἐμφρόντιδες πράττουσιν ὁδοιπόροι,
Ὅτε καθ' ὁδὸν συντύχωσιν ἀγνώστοις,
Αὐτοὺς βλέποντες, οὐκ ἐπέχοντες μέντοι,
Οὕτω κατόπιν ἡμῶν ἤρχετ' ὠκέως,
Ὑπερέβαινέ θ' ἡμᾶς, βλέπουσ' ἐν θάμβει,
Πληθὺς ψυχῶν σιγηλὴ καὶ θεοσέπτωρ.
Ὀφθαλμοὺς δ' εἶχ' ἑκάστη θολοὺς καὶ κοίλους,
Πελιδνήν τ' ὄψιν, οὕτω τ' ἦν ἰσχναλέα,
Ὥστε σχῆμ' ἐλάμβανεν ὀστῶν τὸ δέρμα.
Οὐκ οἴομ' οὕτως ὑπέρισχνον γενέσθαι
Ἐρυσίχθονα τὸν ἀποξηρανθέντα
Ἐκ βουλιμίας, ὅτε μάλιστ' ἦν πάσχων.
Ἐν τῷ νῷ σκεπτόμενος ἔλεγον· "Ἴδε
„Τοὺς τὴν Ἱερουσαλὴμ λυμηναμένους,
„Ὅτ' ἴδιον κατήσθι' υἱὸν Μαρία."
Ἀλίθοις τῶμματ' ἐῴκει δακτυλίοις·
Ὃς ἐπ' ὄψιν ἀνθρώπων ἀναγινώσκει
ΟΜΟ, τὸ Μῦ ῥᾳδίως γραπτὸν ἂν ἴδοι.
Τίς ποτ' ἂν νομίσειεν ὀσμὴν ὀπώρας,
Ὀσμήν θ' ὑδάτων οὕτως ἐνεργεῖν, ὥστε

Πόθον αὐταῖς ἐμβάλλειν, οὐκ εἰδὼς ὅπως;
Ἠπόρουν ἤδη, τί τόσον ἐλιμάγχει
Αὐτάς, οὐκ οὔσης γνωστῆς μοι τῆς αἰτίας
Τῆς ἰσχνότητος καὶ τῆς οἰκτρᾶς λεπίδος.
40 Ἰδοὺ δ' ἐκ βάθους τῆς κεφαλῆς τὰς ὄψεις
Ἀτενίζουσ' ἔτρεψε πρός με σκιά τις·
Εἶτα σφοδρῶς ἔκραξεν· "Οἷα μοι χάρις!"
Οὔποτ' ἐκ τῆς ὄψεως αὐτὴν ἂν γνοίην·
Ἀλλ' ἐκ τῆς φωνῆς ἐγένετό μοι δῆλον
45 Ὅπερ ἔκρυπτε τὸ τοῦ προσώπου σχῆμα.
Ἀπαυγὴ δ' ἤδ' ἀνέλαμψ' ἐν ἐμῇ μνήμῃ
Τὴν εἰκόν' αὐτῆς παρεσχηματισμένην,
Κἀνεγνώρισα τὴν ὄψιν τοῦ Φορέσου.
"Μὴ δὴ βλέπ' εἰς τὴν ξηρὰν ψώραν," ἐδεῖτο,
50 "Τὴν τοῦ χρωτός μου χροιὰν χραίνουσαν, μήτε
,,Εἰς τὴν τῆς σαρκὸς στέρησιν, ὑφ' ἧς πάσχω.
,,Ἀλλ' ἀληθῶς φράσον μοι, τίς εἶ καὶ τίνες
,,Αἱ συνοδεύουσαί σοι 'κεῖ ψυχαὶ δύο·
,,Μὴ γοῦν ὀκνήσῃς ἀπαγγεῖλαί μοι τοῦτο."—
55 "Τὸ σὸν πρόσωπον, ὃ θανὸν ἔκλαυσ' ἤδη,

„Οὐχ ἥττονι λύπῃ νῦν θρηνεῖν ποιεῖ με,"
Εἶπον, "βλέποντα διεστραμμένον οὕτω.
„Τί τἀπισχναῖνον ὑμᾶς, πρὸς Θεοῦ, λέγε·
„Μὴ δὲ θέλε με λαλεῖν ἔκθαμβον ὄντα.
60 „Κακῶς λέγει γὰρ ὁ πλήρης ἄλλων πόθων."
Πρὸς ἐμὲ δ' αὐτός· "Τῆς αἰωνίου Δίκης
„Ἀρετὴ πίπτουσ' ἐφ' ὕδατος καὶ δένδρου,
„Ὄπισθεν ὄντος, οὕτω μ' ἀποξηραίνει.
„Πᾶσ' ἡ πληθὺς σκιῶν τῶνδ', ἣ κλαίουσ' ᾄδει,
65 „Οὖσ' ἀμέτρως ἔκδοτος τῇ λαιμαργίᾳ,
„Ὧδ' ἁγνίζεται διὰ πείνης καὶ δίψης.
„Τοῦ πίνειν ἐσθίειν τε πόθον ἐμπνέει
„Ὀσμὴ τῶν καρπῶν καὶ πτῶσις τῶν σταγόνων,
„Αἳ τὴν χλοερὰν ῥαντίζουσι φυλλάδα.
70 „Τούτου δ' ὁσάκις διαβῶμεν τοῦ κύκλου
„Πέριξ, ἡ ποινὴ πάλιν ἀνανεοῦται·
„Ποινὴν ἔφην, ἀλλ' ἄνεσίν μ' ἔδει λέγειν.
„Ἡ γὰρ ὠθοῦσα θέλησις πρὸς τὸ δένδρον
„Ἔωσε Χριστὸν φαιδρὸν Ἠλὶ φωνῆσαι,
75 „Πάντας αἵματι ῥυσάμενον ἰδίῳ."

Κἀγὼ πρὸς αὐτόν· "'Εξ ὅτουπερ, Φορέση,
,,Εἰς βελτίονα μετήλλαξας τὸν βίον,
,,Οὔπω πέντ' ἔτη παρῆλθεν ἄχρι τοῦδε.
,,Εἰ δ' ἡ δύναμις ἔληξ' ἐν σοὶ τοῦ πλέον
80 ,,Ἁμαρτάνειν πρὶν ὥρας τῆς ἡμᾶς λύπαις
,,Σωστικαῖς πάλιν τῷ Θεῷ συζευγνύσης,
,,Πῶς ἀνῆλθες ἐνταῦθα; καὶ γὰρ ᾠόμην
,,Εὑρεῖν ὑποχθόνιον ἔτι σε κάτω,
,,Ἔνθαπερ χρόνῳ χρόνος ἐπανορθοῦται."
85 Πρὸς ἐμὲ δ' αὐτός· "'Ως τάχος ἤγαγέ με
,,Πιεῖν γλυκεῖαν ἄψινθον λυπῶν τῶνδε
,,Ἡ 'μὴ Νέλλα δάκρυσιν αὐτῆς ἀφθόνοις·
,,Καὶ γὰρ στεναγμοῖς καὶ σεπταῖς ἱκεσίαις
,,Ὀχθης μ' ἐξείλκυσ', ἔνθ' ἀναμένουσ' ἄλλοι,
90 ,,Ἔκ τε τῶν ἄλλων ἀπήλλαξέ με κύκλων.
,,Τόσῳ μᾶλλον προσφιλὴς τῷ Θεῷ κ' εὔνους
,,Ἐστὶν ἡ νέα κἀγαπητή μοι χήρα,
,,Ὅσῳ πρὸς τἀγαθουργεῖν ἐξέχει μόνη.
,,Ἡ γὰρ Σαρδῴα Βαρβακίνη γυναῖκας
95 ,,Σωφρονεστέρας ἔχει τῆς Βαρβακίνης,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Ἔνθα θνήσκων τὴν ἐμὴν ἀφῆκα Νέλλαν.
,,Ἀδελφὲ γλυκύ, τί βούλει μέ σοι λέγειν;
,,Ἤδη μέλλοντα πρὸ τῶν ὀμμάτων βλέπω
,,Καιρὸν οὐ βραδύτερον τῆς ὥρας τῆσδε,
100 ,,Ὅτ' ἀπ' ἄμβωνος ἀπειρημένον ἔσται
,,Ταῖς ἀναιδέσι γυναιξὶ Φλωρεντίναις
,,Βαίνειν δεικνύσας σὺν τοῖς μαστοῖς τὸ στῆθος.
,,Τίνας Βαρβάρους ποτέ Σαρακηνάς τε
,,Κατηνάγκασαν βαίνειν κεκαλυμμένας
105 ,,Πνευματικαῖς ἢ παραγγελίαις ἄλλαις;
,,Ἀλλ' εἴγ' ἦν γνωστὸν ταῖς ἀναισχύντοις ταύταις
,,Οἷ' αὐταῖς σπεύδων οὐρανὸς ἑτοιμάζει,
,,Ὠρύεσθ' ἂν ἤνοιγον τὰ στόματ' ἤδη·
,,Εἰ μὴ γὰρ ἡ 'μὴ πρόοψις ἀπατᾷ με,
110 ,,Ἔσοντ' ἐξωλέσταται πρὶν ἐπὶ βρέφους
,,Παρειῶν φυῇ χνοῦς τοῦ νῦν ἐν σπαργάνοις.
,,Ἀδελφέ, λοιπὸν μὴ δή μοι κρύπτου πλέον·
,,Βλέπ' οὐ μόνον ἔμ', ἀλλὰ καὶ πληθὺν τήνδε
,,Θαμβοῦσαν πῶς ἥλιον ἐπισκιάζεις."
115 Κἀγὼ πρὸς αὐτόν· "Εἴγ' εἰς νοῦν ἀναγάγοις,

„Τίς ἦς σὺν ἐμοὶ, κἀγὼ σὺν σοὶ τίς ἤμην,
„Ἐπώδυνος νῦν ἔτ' ἄν γένοιθ' ἡ μνήμη.
„Ἀπήγαγ' ἐκ τῆς ἐκεῖ ζωῆς μ' ἐκεῖνος,
„Ὃς προβαίνει μου, πρώϊζ' ὅτε στρογγύλη
120 „Ὑμῖν ἀδελφὴ 'φάνη τουτουί," δείξας
Τὸν ἥλιον· "ἐκεῖνος ὡδήγησέ με
„Διὰ τοῦ σκότους τῶν ἀληθῶς θανόντων
„Σὺν τῇ μετ' αὐτὸν βαινούσῃ σαρκὶ τῇδε.
„Εἶτ' αὐτοῦ ταῖς προτροπαῖς ἦλθον ὧδ' ἄνω,
125 „Ἀνερχόμενος καὶ περιβαίνων τοῦρος
„Τἀνορθοῦν ὑμᾶς, οὓς διέστρεψ' ὁ κόσμος.
„Ἐπὶ τοσοῦτον λέγει μοι συνοδεύσειν
„Ἕως ἂν ἀφίκωμ' ἔνθ' ἔσται Βεάτριξ·
„Ἐκεῖθί τ' ἄνευ θ' αὐτοῦ μεῖναί με δέον.
130 „Βιργίλιος ἔσθ' οὗτος, ὅς μοι ταῦτ' εἶπε,"
Δακτύλῳ δείξας· "σκιὰ δ' ἐστὶν ἀτέρα,
„Δι' ἣν ἐκ θεμελίων πᾶν πρὶν ἐσείσθη
„Τὸ κράτος ὑμῶν, αὐτὴν ἀπολυτρῶσαν."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΚΔ΄.

Βοναϊούγκτας Λουκαῖος.—Ὁ Πάπας Μαρτῖνος Δ΄.—
Θάνατος Κόρσου Δωνάτου.—Ἕτερον δένδρον.

Οὔτε λόγοι τὴν ὁδόν, οὐδ' ὁδὸς λόγους
Ἀνέβαλλον· ἀλλ' ἐβαίνομεν λαλοῦντες
Ὠκεῖς, ὡς ναῦς ἀνέμῳ πλέουσ' οὐρίῳ.
Αἱ σκιαὶ δὲ δοκοῦσαι δὶς τεθνηκυῖαι
5 Ἐκ βόθρων τῶν ὀμμάτων, θαυμασμοῦ πλήρεις,
Ἀπέβλεπον εἰς ἐμέ, ζῶον ὁρῶσαι.
Παρατείνων δὲ τὴν ἐμὴν ὁμιλίαν,
Εἶπον· "Ἴσως ἡ σκιὰ κείνη προβαίνει
„Βράδιον ἤπερ ἔδει, χάριν θἀτέρου.
10 „Ἀλλ', εἴγ' οἶσθα, λέγε μοι, ποῦστι Πικάρδα·
„Λέγ', εἰ ψυχή τις θέας ἐστὶν ἀξία
„Ἐν τῇ θάμβει με καθορώσῃ πληθύϊ."—
"Ἀδελφή μου μέν, ἧς τί θαυμάσαις μᾶλλον
„Ἀγαθωσύνην ἢ καλλονήν, ἐν ἄκρῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

15 „Ὀλύμπῳ στέφος ἤδη φέρει θριάμβου."
Ταῦτ' εἶπε πρῶτον· εἶτ'· "'Αλλ' ὧδ' ὀνομάζειν
„Ἕκαστον οὐκ ἀπείρητ', ἐπεὶ τὴν ὄψιν
„Ἔχομεν διάστροφον ὑπὸ τῆς πείνης.
„Βοναϊούγκτας ἐστὶν οὗτος," δακτύλῳ
20 Δείξας· "Βοναϊούγκτας Λουκαῖος· κεῖνος
„Ἐγγὺς αὐτοῦ καὶ μᾶλλον ξηρὸς τὴν ὄψιν
„Τὴν ἁγίαν ἐν χερσὶν ἔσχ' Ἐκκλησίαν·
„Ἣν δ' ἐκ Τυρόνων, καθαίρει τ' ἀσιτίᾳ
„Τὰς οἰνοέσσας Βολσινίους ἐγχέλεις."
25 Ἄλλους μοι πολλοὺς ὠνόμασ' ἕν' ἐφ' ἕνα,
Πάντες τ' ἐδόκουν χαίρειν ἐπὶ τῇ κλήσει,
Ὥστ' οὐδέν' εἶδον ἀχθόμενον πρὸς τοῦτο.
Ἐκ πείνης μασώμενον κενοῖς ὀδοῦσιν
Οὐλβαδῖνον Πιλανὸν καὶ τὸν τῇ ῥάβδῳ
30 Βονιφάκιον πολλοὺς ποιμάναντ' εἶδον.
Εἶδον κυρὸν Μαρκίων', ὃς ἔπιν' ἤδη
Ἀνέτως ἧττόν τ' αὐχμωδῶς ἐν Λιβίου
Φόρῳ, καὶ διακόρως οὐδέποτ' εἶχεν.
Ἀλλ' ὥς τις πράττει βλέπων, κἄπειτα μᾶλλον

35 Ἕν' ἄλλου τιμῶν, οὕτω πρὸς τὸν Λουκαῖον
Ἔπραξ', ὡς γνωρίζειν με μᾶλλον δοκοῦντα.
Ὑπεψιθύριζ' ὄνομ' οὐκ οἶδα τίνος
Γεντούκης, ἐκ τοῦ μέρους ἔνθ' ἦν τὸ τραῦμα
Δικαιοσύνης αὐτὸν περιλεπούσης.
40 Εἶπον· "Ὦ ψυχή, ποθεῖν τόσον δοκοῦσα
,,Προσφθέγγεσθαί με, δός με δή σου πυθέσθαι,
,,Κἀμοὶ σαυτῇ τε τοῖς σοῖς λόγοις χαρίζου."—
,,Ἐγένετο γυνή τις, ἀνάδημ' οὔπω
,,Φέρουσ'," ἤρξατο, "καί σοι τὴν ἐμὴν πόλιν
45 ,,Ποιήσει τερπνήν, ἐπίψογόν περ οὖσαν.
,,Σὺν τῇ προόψει σύγε τῇδ' ἀπελεύσῃ·
,,Ἀλλ' εἰ τοὐμὸν ψιθύρισμ' ἠπάτησέ σε,
,,Τἀληθῆ πράγματά σοι δῆλον ποιήσει.
,,Ἀλλά μοι φράσον, εἰ τὸν ποιητὴν βλέπω
50 ,,Τῶν νέων στίχων οὕτωσὶν ἀρχομένων:
'Γυναῖκες, τὴν ἔρωτος ἔχουσαι γνῶσιν.'"
Κἀγὼ πρὸς αὐτόν· "Τοιοῦτός εἰμ', ὥσθ', ὅτε
,,Ἔρως ἐμπνέει, σημειῶ, καὶ καθάπερ
,,Ὑπηγόρευτ' ἐν ἐμοί, σπεύδων ἐκφράζω."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

55 Ὁ δ' εἶπε· "Βλέπω νῦν δεσμόν, ὃς ἐκράτει
,,Νοτάριον, Γιττώνην κἀμέ τε πόρρω
,,Οὗπερ ἀκούω νέου γλυκέος ὕφους.
,,Πῶς ὑμῶν οἱ κάλαμοι βαίνουσι βλέπω
,,Ἴχνος ἐπ' ἴχνος τῶν ὑπαγορευόντων,
60 ,,Ὅπερ τοῖς ἡμῶν βεβαίως οὐ συνέβη.
,,Εἰ δ' ἀξιοῖ τις ἀρέσκειν ἔτι μᾶλλον,
,,Εὖ διακρίνειν οὐκ οἶδεν ὕφος ὕφους."
Εἶτ' ἐσιώπησ', ὡς ἂν αὐτάρκως ἔχων.
Ὡς δ' ὄρνεις χειμάζοντες παρὰ τὸν Νεῖλον
65 Ἔσθ' ὅτ' ἴλην ἑαυτῶν μακρὰν ποιοῦνται,
Ἵπτανται δ' εἶτα στοιχηδὸν σπουδῇ πάσῃ,
Οὕτως ὁμοθυμαδὸν πληθὺς ἐκείνη
Τὴν ὄψιν τρέψασ', ἐπέσπευσε τὸ βῆμα,
Οὖσ' ἐκ τῆς ἰσχνότητος καὶ πόθου κούφη.
70 Καὶ καθὼς ὁπότε τις κέκμηκε τρέχων
Περιπατεῖ, τοὺς ἄλλους ἐῶν ἰέναι,
Ἕως οὗ κατευνασθῇ τἀσθμαῖνον στῆθος,
Ὡς προβαίνειν τὴν σεπτὴν ἀφῆκ' ἀγέλην
Φορέσης, ἐρχόμενος σύν μοι κατόπιν,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Καὶ λέγων· "Πότ' ἆρά γέ σ' ὄψομαι πάλιν;"—
"Οὐκ οἶδα πόσον," εἶπον, "ζήσομαι χρόνον·
,,Ἀλλ' ἐπάνοδος ἡ 'μὴ τόσον οὐκ ἔσται
,,Ταχεῖ' ὅσον ἐπόθουν εἶν' ἐν τῇδ' ὄχθῃ·
,,Ἡ χώρα γάρ, ἔνθα μοι ζῆν προωρίσθη,
,,Πᾶσαν ἡμέραν τρέπετ' ἐπὶ τὸ χεῖρον,
,,Δοκεῖ τ' εἰς οἰκτρὰν καταστροφὴν ἑτοίμη."—
"Νῦν ὕπαγ'," εἶπε, "συρόμενον γὰρ βλέπω
,,Τὸν πρωταίτιον ἀπὸ τῆς οὐρᾶς ἵππου
,,Πρὸς τὴν κοιλάδ', ἔνθ' οὐ καθαίρεται πταῖσμα.
,,Ὠκύτερον τὸ ζῶον κατὰ πᾶν βαίνει
,,Βῆμ' αὖξον ἀεί, μέχρις αὐτὸν συνθλάσῃ,
,,Καὶσχρῶς δύσμορφον ἐγκαταλίπῃ πτῶμα.
,,Οὐ μακρὸν σφαῖραι περιπολήσουσ' αὗται,"
Ὄμμασι τὸν οὐρανὸν δείξας, "καὶ δῆλον
,,Ὃ σάφ' εἰπεῖν οὐκ ἔχω γενήσεταί σοι.
,,Νῦν σ' ἐῶ χαίρειν· ὁ γὰρ καιρὸς ἐν κράτει
,,Τῷδε τίμιος, καὶ λίαν ζημιοῦμαι
,,Σὺν σοὶ βαδίζων οὕτωσὶ κατὰ βῆμα."
Ὡς δ' ἱππεύς ποτ' ἐλαύνων ἀπὸ ῥυτῆρος

95 Ἴλης ἱππαζομένης ὁρμῶν ἐκθρώσκει,
Ὅπως τιμῆς ἐν πρώτῃ προσβολῇ τύχῃ,
Τοιόσδ' ἀπῆλθ' ἀφ' ἡμῶν ταχίων τ' ἔτι.
Ἐγὼ δ' ἔμειν' ἐν ὁδῷ σὺν δυσὶ κείνοις,
Διαπρέψασι τηλίκως ἐν τῷ κόσμῳ.
100 Ὅτε δὲ τόσον μακρὰν ἡμῶν προέβη,
Ὅσον ὄμμασιν ἕπεσθ' αὐτῷ 'δυνάμην,
Ὡς ἐμὸς νοὺς εἵπετο τοῖς αὐτοῦ λόγοις,
Ἐφάνησάν μοι βρίθοντες χλωροὶ κλάδοι
Οὐ μακρὰν ἀφεστῶτες ἑτέρου δένδρου,
105 Πρὸς τὸ μέρος ἐκεῖνο τότε στραφέντι.
Εἶδον ὑπ' αὐτὸ ψυχὰς αἰρούσας χεῖρας,
Καὶ πρὸς τὴν κοιλάδ' οὐκ οἶδα τί κραζούσας,
Ὡς παιδί' ὁρμητικὰ καὶ φρενῶν ἔξω
Ἀπαιτοῦντά τι παρ' ἀνδρὸς σιωπῶντος,
110 Πρὸς δ' ἄυξησιν τῆς ὁρμῆς κρατοῦντος ἄνω,
Καὐτοῖς δεικνύντος τὸ ποθούμενον πρᾶγμα.
Ἔπειτ' ἀπῆλθον ὡσεὶ μεταπεισθεῖσαι.
Τότε δ' ἡμεῖς πρὸς τὸ μέγ' ἤλθομεν δένδρον
Τἀπαξιοῦν δεήσεις καὶ κλαυθμοὺς τόσους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

115 "Βαίνετε πέραν, μὴ δ' ἐγγύθι χωρεῖτε·
,,Ξύλον ἔστ' ἀνωτέρω δηχθὲν ὑπ' Εὔας,
,,Ἀφ' οὗπερ τοῦτο τὸ δένδρον ἐξεφύη."
Οὐκ οἶδα, τίς ἐφώνει διὰ τῶν κλάδων,
Βιργιλίου, Στατίου κἀμοῦ θ' ὁμόσε
120 Ἰόντων ἐξ οὗ μέρους τοῦρος ὑψοῦτο.
"Μέμνησθ'," ἔλεγεν, "ἐναγῶν τῶν φυέντων
,,Ἐν νεφέλαις, οἵ, βορᾶς κεκορεσμένοι,
,,Τῷ Θησεῖ διπλοῖς στήθεσιν ἐπολέμουν·
,,Καὶ τῶν Ἑβραίων, οὓς μαλαχθέντας πότῳ
125 ,,Οὐκ ἐδέξατο Γεδεὼν ὡς ἑταίρους,
,,Ὅτε κατὰ Μαδιὰμ κατῆλθ' ἐκ λόφων."
Οὕτως ἐγγὺς ἰόντες ἑνὸς τῶν ἄκρων
Ἔβημεν, ἀκούοντες γαστριμαργίας
Πταίσματα πάλαι σχετλίως κολασθέντα.
130 Ἔπειτα δι' ἀνοικτῆς ὁδοῦ κ' εὐρείας
Πλέον χιλίων προήλθομεν βημάτων,
Περιαθροῦντες, οὐδενὸς ὁμιλοῦντος.
"Τί βαδίζετε σύννους ὑμεῖς τρεῖς μόνοι;"
Αἴφνης εἶπε φωνή τις· ὥστ' ἐξεπλάγην,

135 Ὡς ζῶα ποιεῖ δειλὰ καὶ πτοηθέντα.
Ὀρθὴν ἦρα κεφαλὴν ἰδεῖν, τίς εἴη,
Κοὔποτ' ἐφάνη λάμπων πυρίχρως θ' οὕτως
Ὕαλος ἢ μέταλλον ἐν τῇ καμίνῳ,
Οἷον λέγοντά τιν' εἶδον· "Εἴ σ' ἀρέσκει
140 „Ἀνελθεῖν ἄνω, τραπῆναί σ' ὧδε πρέπει·
„Ἐντεῦθεν βαίνει πᾶς ἰὼν εἰς εἰρήνην."
Ἡ θέα τοῦδ' ἤμβλυνε τὰς ἐμὰς ὄψεις,
Κὤπισθ' ἐστράφην πρὸς ἐμοὺς διδασκάλους,
Ὡς τις ὑπείκων τοῖς ὁδηγοῦντος λόγοις.
145 Οἷα δ' ἡ προάγγελος ὀρθρίας αὔρα
Τοῦ Μαΐου φαίνεται κἀρωματίζει,
Ἀνθέων τε καὶ χλόης ἐμπεπλησμένη,
Τοιόνδ' ᾐσθόμην πνέοντ' ἄνεμον μέσον
Τοὐμοῦ μετώπου, καὶ πτέρυγα κινοῦντα,
150 Ἀμβροσίας τὴν ὀσμὴν ἐκσκεδαννῦσαν·
Φωνήν τ' ἤκουσα· "Μάκαρες, οὓς τοσοῦτον
„Φλέγει χάριτος, ὥστε γεύσεως ἔρως
„Οὐκ ἐποτρύνει μέγαν ἐν στήθει πόθον,
„Ἀεὶ καθ' ὅσον δίκαιον ἀρκουμένους."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΚΕ'.

Λόγος Στατίου περὶ Γεννήσεως.—Ὁ Ἕβδομος Κύκλος.—Οἱ Λάγνοι.

Ἦν ὥρα χρῄζουσ' ἐσπευσμένης ἀνόδου·
Ὁ γὰρ ἥλιος τὸν μεσημβρινὸν κύκλον
Προὔλιπ' εἰς Ταῦρον, ἡ δὲ νὺξ εἰς Σκορπίον.
Ὡς δὲ πράττει πᾶς, ὃς καθ' ὁδὸν οὐ μένει,
5 Ἀλλ' ὅ, τιπερ ἂν φανῇ, στερῥῶς βαδίζει,
Ὅτ' αὐτὸν ὠθεῖ τὸ κέντρον τῆς ἀνάγκης,
Οὕτως εἰς ὀπὴν εἰσήλθομεν τῆς πέτρας
Εἷς ὄπισθ' ἄλλου, διὰ στενῶν βαθμίδων,
Μόνους βαίνειν ποιουσῶν τοὺς ἀνιόντας.
10 Καὶ καθὼς πελαργιδεὺς πτέρυγα τείνει,
Ὡς πτησόμενος, ἀλλὰ τόλμην οὐκ ἔχων
Τὴν νεοσσιὰν λιπεῖν, πάλιν συστέλλει,
Οὕτως ἐκ πόθου φλέγοντος κἀσβηκότος
Κἀγὼ θέλων ἐρωτᾷν, εἰς ἀκμὴν ἦλθον,

15 Ὅτ' εἰς τὸ λαλεῖν γέγονέ τις ἑτοῖμος.
Πατὴρ δ' ὁ γλυκύς, τῆς ὁδοῦ καίπερ οὔσης
Τραχείας, οὐκ ἀπέτρεψ', ἀλλ' εἶπε· "Βάλλε
„Ὃ μέχρις ἄκρας ἔτεινας λόγου τόξον."
Καὶ τότε θαρραλέως τὸ στόμ' ἀνοίξας,
20 Ἠρξάμην· "Πῶς τις δύνατ' ἰσχνὸς γενέσθαι
„Ἔνθ' αὐτῷ διατροφῆς οὐκ ἔστι χρεία;"—
"Εἰ διὰ μνήμης εἶχες ὡς ἠναλώθη
„Ὁ Μελέαγρος, τοῦ δαλοῦ καιομένου,"
Εἶπεν, "οὐκ ἄν σοι τοῦτο ξένον ἐδόκει.
25 „Εἰ δ' ἀνεπόλεις, ὅπως τῇ σῇ κινήσει
„Ἅμ' εἰκὼν ἡ σὴ κινεῖτ' ἐν τῷ κατόπτρῳ,
„Τὸ δοκοῦν καινὸν εὐχερῶς ἂν συνίης.
„Ἀλλὰ πρὸς ἐκπλήρωσιν οὗ δείκνυς πόθου,
„Ἰδοὺ Στάτιον καλῶ παρακαλῶ τε
30 „Ἵνα νῦν τὸ σὸν ἐξιάσηται πάθος."—
"Εἴγ' αὐτῷ θέαν θείαν ἀποκαλύπτω,"
Ἀπεκρίθη Στάτιος, "σοῦ γε παρόντος,
„Ἔστω συγγνώμη τὸ μὴ δύνασθ' ἀρνεῖσθαι."
Ἔπειτ' ἤρξατο· "Τέκνον, ἂν ἐμοὺς λόγους

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

35 ,,Εὖ μάλ' ἡ σὴ φρὴν δέχηται καὶ φυλάττῃ,
,,Ἔσονταί σοι φῶς, οὗ πέρι νῦν πυνθάνῃ.
,,Ὅπερ οὐκ ἀπορροφοῦσ' ἐντελὲς αἷμα
,,Αἱ διψαλέαι φλέβες, καὶ περισσεύει,
,,Ὡς τροφὴ τῆς τραπέζης ἐκκομισθεῖσα,
40 ,,Ἐν καρδίᾳ λαμβάνει πρὸς πᾶν ἀνθρώπου
,,Μέλος δύναμιν μορφωτικήν, ὁμοίαν
,,Μέλεσι, δι' ὧν διήκουσιν αἱ φλέβες.
,,Χωνευθὲν ἤδη κάτεισ' εἰς μέρος, ὅπερ
,,Κάλλιον σιγᾷν ἢ λέγειν, ὅθεν στάζει
45 ,,Ἐν αἵματος ἑτέρου φυσικῷ σκεύει.
,,Ἐκεῖθι δὲ συμμίγνυτ' ἀλλήλοις ἄμφω,
,,Τοῦτο μὲν πάσχον, κεῖνο δ' ἐνεργοῦν, ἅτε
,,Ἀπὸ μέρους ἐντελοῦς προαπορρέον.
,,Ἑνωθὲν δὲ θἀτέρῳ τῆς ἐνεργείας
50 ,,Ἄρχεται πηχθὲν πρῶτον, ζωγονοῦν δ' εἶτα
,,Ὅπερ ἐξ ὕλης ἐπύκνωσεν ἰδίας.
,,Ἡ δ' ἐνεργὸς δύναμις ψυχή τις οὖσα,
,,Οἵα τοῦ φυτοῦ, διάφορος καθ' ὅσον
,,Ἡ μὲν πρόεισιν, ἡ δ' ἀφίκετ' εἰς τέρμα·

55 ,,Ἐργάζετ' εἶτ', αἴσθησιν κίνησιν τ' ἔχει,
,,Ὡς θαλάσσιος σπόγγος, κἀντεῦθεν ἄρχει
,,Τοῦ διοργανοῦν δυνάμεις, ὧν ἦν σπέρμα.
,,Νῦν μὲν στενοῦται, νῦν δ' ἐκτείνεται, τέκνον,
,,Δύναμις ἡ 'κ καρδίας τοῦ γεννητῆρος,
60 ,,Ἔνθ' ἡ φύσις προνοεῖ μελῶν ἁπάντων.
,,Ἀλλὰ πῶς γίνετ' ἄνθρωπος ἀπὸ ζώου
,,Οὐχ ὁρᾷς ἔτι· μέγα τοῦτ' ἔστι θέμα,
,,Ἀποπλανῆσαν ἤδη σοφώτερόν σου.
,,Δογματίζων γὰρ ψυχῆς ἀποχωρίζει
65 ,,Τὴν δυνατὴν νόησιν, ὡς οὐδὲν βλέπων
,,Ὄργανον ὡρισμένον αὐτῇ πρὸς τοῦτο·
,,Ἄνοιξον στῆθος πρὸς τἀληθές, ὃ λέξω,
,,Καὶ σύνες, ὡς εὐθὺς ὅτ' ἐν ἐγκεφάλῳ
,,Ἡ διάρθρωσις γίνετ' ἐμβρύου πλήρης,
70 ,,Ὁ πρώταρχος Κινητὴς φαιδρὸς πρὸς τόδε
,,Φύσεως τεχνούργημα τρέπετ', ἐμπνέων
,,Εἰς αὐτὸ πνοὴν νέαν ἀρετῶν πλήρη,
,,Ἃ προσέλκει πᾶν, ὅπερ ἐνεργὸν εὕροι,
,,Εἰς ἑαυτήν, καὶ ψυχὴ γίνεται μία,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

75 ,,Ζῶσ', αἰσθομένη κἀν αὐτῇ κυκλουμένη.
,,Ἵνα δ' ἧττον θαυμάζῃς τῶν ἐμῶν λόγων,
,,Ἴδε τὴν θάλψιν ἡλίου γινομένην
,,Οἶνον, μιχθεῖσαν τῷ χυμῷ τῆς ἀμπέλου.
,,Ὅτε δ' οὐκέτι Λάχεσις ἔχει νῆμα,
80 ,,Χωρίζεται τῆς σαρκός, ἀλλὰ δυνάμει
,,Ἄγει σὺν αὐτῇ τἀνθρώπινον καὶ θεῖον·
,,Αἰσθήσεις δ' ἄλλαι πᾶσαι σχεδὸν νεκροῦνται·
,,Ἀλλὰ θέλησις, διάνοια καὶ μνήμη
,,Ὀξύτεραι μένουσιν ἢ τὸ πρὶν ἔργῳ.
85 ,,Ἄνευ δὲ βραδύτητος ἀφ' αὐτῆς πίπτει
,,Εἰς ἑτέραν τῶν ὀχθῶν θαυμαστῷ τρόπῳ,
,,Κἀκεῖ πρῶτον τὰς αὐτῆς ὁδοὺς γινώσκει.
,,Ἀμ' ἐκεῖ δ' αὐτῇ διορισθέντος τόπου,
,,Ἡ μορφώδης δύναμις ἀστράπτει πέριξ,
90 ,,Ὅπως ἔπραττεν ἐν τοῖς μέλεσι ζῶσιν.
,,Ὡς δ' ἀὴρ ὑετώδης, ὅταν ἡλίου
,,Ἀκτῖνες ἀνταναακλῶντ' αὐτῷ, ποικίλαις
,,Χροιαῖς ἀναφαίνεται κεκοσμημένος,
,,Οὕτως ὁ πέριξ αὐτῆς ἀὴρ λαμβάνει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

95 ,,Ἐκεῖ τὴν μορφήν, ἥντιν' αὐτῷ σφραγίζει
,,Αὐτοδυνάμως ἡ ψυχὴ καταστᾶσα.
,,Εἶτα δ' ὁμοία φλογὶ συνεπομένῃ
,,Τῷ πυρὶ πάντοσ', ὅποι ποτ' ἂν τραπείῃ,
,,Τῷ πνεύματι συνέπετ' ἐν μορφῇ νέᾳ.
100 ,,Ὡς δὲ τὴν εἰκασίαν ἐντεῦθεν ἕλκει,
,,Σκιὰ καλεῖται, διοργανοῖ τ' ἐντεῦθεν
,,Πᾶσαν αἴσθησιν, ὅρασιν τ' αὐτὴν ἔτι.
,,Ἐντεῦθεν ἡμεῖς λαλοῦμεν καὶ γελῶμεν,
,,Ἐντεῦθεν τὰ δάκρυα, στεναγμοί θ' οἵδε,
105 ,,Οὓς ἀκούσας ἔτυχες ἀνὰ πᾶν τοὖρος.
,,Καθ' ὅσον δ' ἐποτρύνουσ' ἡμᾶς οἱ πόθοι
,,Πάθη τε τἆλλ', ἡ σκιὰ τούτοις μορφοῦται·
,,Καὶ ταῦθ', ὧνπερ θαυμάζεις, ἐστὶν αἰτία."
Εἰς βάσανον ἐσχάτην ἀφίγμεθ' ἤδη·
110 Ἐστράφημεν δὲ πρὸς τὴν δεξιὰν χεῖρα,
Καὶ προσείχομεν τὸν νοῦν ἄλλῃ μερίμνῃ.
Ἐνταῦθ' ἡ κλιτὺς φλόγας ἐξακοντίζει,
Κἄνεμον ἡ κορωνὶς πνέει πρὸς τἄνω,
Ὃς παλιμπετὲς αὐτὰς ὠθεῖ κἀλαύνει.

115 Ὅθεν πρὸς μέρος τἀνοικτὸν ἡμᾶς ἔδει
Βαίνειν ἕνα καθ' ἕνα, κἀγὼ 'φοβούμην
Φλόγας ἐντεῦθεν, κατάπτωσιν ἐκεῖθεν.
Ἐμὸς δ' Ἡγήτωρ ἔλεγ'· "Ἐν τόπῳ τῷδε
„Ὄμματ' ἐντόνως χαλιναγωγεῖν δέον·
120 „Παρὰ μικρὸν γὰρ ἁμαρτεῖν ἂν συμβαίη."
"Ὦ Θεὲ Πανοικτίρμων" ἤκουσ' ἐν μέσῳ
Τοῦ μεγάλου πυρὸς τότ' ᾄδοντας, ὅπερ
Οὐχ ἧττον βλέπειν πέριξ ἐποίησέ με·
Καὶ πνεύματ' εἶδον διὰ πυρὸς ἰόντα,
125 Κεἰς βήματ' αὐτῶν ἠτένιζον ἐμοῦτε,
Τείνων τὰς ὄψεις πότ' ἔνθεν, πότ' ἐκεῖθεν.
Ὕμνου δὲ τοῦδε μετὰ τὸ τέλος, ἄλλην
Ἤκουσ' ὑψηλὴν κραυγήν: "Ἄνδρ' οὐ γινώσκω."
Εἶτ' ἐξ ἀρχῆς τὸν ὕμνον ᾖδον βαρέως.
130 Περάναντες δ' ἔκραζον πάλιν· "Εἰς τἆλσος
„Δραμοῦσ' Ἄρτεμις ἐδίωξεν Ἑλίκην,
„Φαρμάκου γευσαμένην τῆς Ἀφροδίτης."
Τότ' ἤρξαντ' ᾄδειν πάλιν· τότε γυναῖκας
Ἄνδρας εὐφήμουν σώφρονας γεγονότας,

135 Ὥσπερ ἀρετὴ καὶ γάμος διατάττει.
Οἴομαι δ' ἀρκεῖν αὐτοῖς τὸν τρόπον τοῦτον
Ἐφ' ὅσον χρόνον τὸ πῦρ αὐτοὺς ἐμφλέγει.
Μερίμνῃ καὶ διαίτῃ τοιᾷδ' ἁρμόζει
Τὸ πανύστατον ἀπουλωθῆναι τραῦμα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΚΣΤ'.

Γουΐδος Γουϊνικέλλης.—Ἀρνάλδος Δανιῆλος.

Ἐν ᾧ δ' ἐβαδίζομεν παρὰ τὸ χεῖλος
Εἷς καθ' ἕνα, συνεχῶς οὑμὸς Προστάτης
Ἔλεγε· "Πρόσχες· ὄνησο συμβουλῶν μου."
Ἔπληττέ μοι δεξιὸν ἥλιος ὦμον,
5 Ἀκτῖσι μεταβαλὼν δύσεως ἤδη
Πάσης ὄψιν εἰς λευκὴν ἐκ γλαυκοχρόου.
Κἀγὼ τῇ σκιᾷ τὴν φλόγ' ἐρυθροτέραν
Ἐποίουν δοκεῖν· ἐκ δὲ θέας τοιᾶσδε
Πολλὰς σκιὰς βαινούσας εἶδον ἐκθάμβους.
10 Τοῦτο δ' ἀφορμὴν αὐταῖς ἔδωκεν, ὥστε
Ὁμιλεῖν ἐμοῦ πέρι, κἀλλήλαις λέγειν·
"Οὗτος οὐ δοκεῖ πλαστὸν ἔχειν τὸ σῶμα."
Εἶτ' ἐγγύς, ὅσον ἐνῆν, ἐμοῦ στραφεῖσαι,
Θάῤῥος ἔλαβον· ἀλλ' ἐν ταὐτῷ προσεῖχον,
15 Ὅπως μὴ τοῦ φλέγοντος πυρὸς ἐκβῶσιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

"Οὗτος, ὅστις βαδίζεις, οὐχ ὡς βραδίων,
„Ἀλλ' ἴσως αἰδοῖ, κατόπισθεν τῶν ἄλλων,
„Λέγε μοι δίψῃ καὶ πυρὶ φλεγομένῳ·
„Οὔ μοι μόνῳ σῆς ἀποκρίσεως χρεία·
„Οὗτοι γὰρ πάντες μείζον' ἔχουσι δίψαν
„Ἤπερ Ἰνδὸς ὕδατος ψυχροῦ κ' Αἰθίοψ.
„Ἡμῖν λέγε, πῶς τίθεσαι δίκην τείχους
„Πρὸς τὸν ἥλιον, ὡσείπερ εἰσδὺς μήπω
„Ἔσω τῶν βρόχων δικτύων τοῦ θανάτου."
Οὕτω τις αὐτῶν ἔλεγέ μοι, κ' εὐθέως
Ἀπεκρίθην ἂν, εἰ μὴ προσεῖχον πρός τι
Ἕτερον νέον, ἀναφανέν μοι τότε.
Ἐν τῷ μέσῳ γὰρ τῆς φλογερᾶς πορείας,
Προσήρχετ' ἄλλη πληθὺς κατ' ὄψιν ταύτης·
Ὅθεν ἐμαυτὸν ἐπισχὼν ἐθεώμην.
Ἐκεῖ δ' ἑκατέρωθεν εἶδον σπευδούσας
Σκιῶν ἑκάστην καταφιλεῖν ἀλλήλας,
Οὐ μενούσας, χαιρούσας τέρψει βραχείᾳ.
Οὕτως ἐν μέσῳ στίφους μελανοχρόου,
Οἱ μύρμηκες χαίροντες ἅπτοντ' ἀλλήλων,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἴσως συνερωτῶντες ὁδὸν καὶ τύχας.
Ὡς δ' ἀσμενισμῶν ἐπαύσαντο φιλίων,
Πρὶν διαβῶσιν ἐκεῖ τὸ πρῶτον βῆμα,
Ἀνεκραύγαζον ἐξ ἁμίλλης ἑκάστη,
40 Ἡ νέα πληθύς· "Σόδομα καὶ Γομόῤῥα."
Ἡ δὲ προτέρα· "Κρύπτεται Πασιφάη
,,Ἔνδον δαμάλης, ἵν' ἀπολαύσῃ ταύρου."
Ὡς δὲ γεράνων οἱ μὲν ἐπὶ Ῥιπαίων
Ἵπταντ' ὀρέων, οἱ δὲ παρὰ τὰς ἄμμους,
45 Οἱ μὲν φεύγοντες ἥλιον, οἱ δὲ πάγον,
Οὕτως ἡ μὲν ἀπήρχετ' αὐτῶν, ἡ δ' ἄλλη
Ἤρχετ', ἀοιδὰς θρηνῳδοῦσαι τὰς πρώτας,
Κραυγάς θ' ὡς μάλιστ' ἠδύναντο ποιοῦσαι·
Καί μου πλησίον προσῆλθον, ὡς τὸ πρῶτον,
50 Οἱ παρακαλοῦντές με πρὶν αὐτοὶ κεῖνοι,
Ὅλως ἀτενεῖς, ὅπως ἀκούσωσί μου.
Δὶς δ' ἐννοήσας τὸν πόθον αὐτῶν τοῦτον,
Ἠρξάμην λέγων· "Ὦ ψυχαὶ πεποιθῦιαι
,,Εὑρεῖν, ἐλθόντος καιροῦ, τόπον εἰρήνης,
55 ,,Οὔτ' ἀκμάζον ἐπὶ γῆς, οὔτε γηράσκον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Τὸ σῶμα τοὐμὸν ἔμεινεν, ἀλλ' ἐνταῦθα
„Σὺν ἀρθρώσεσιν αἵματί τ' αὐτοῦ φέρω.
„Ὧδ' ἀναβαίνω τοῦ μηκέτι τυφλώττειν.
„Δέσποιν' ἔστ' ἄνω τήνδ' ὑπουργοῦσα χάριν,
60 „Καὶ σάρκα θνητὴν ἄγω δι' ὄρους τοῦδε.
„Ἀλλ' εἴθ' ὃ λίαν ποθεῖτε πληρωθείη,
„Καὶ γένοισθ' ἐν οὐρανῷ δεκταὶ ταχέως,
„Ἕκτασίν τ' εὐρυτάτῳ κἀγάπης πλήρει!
„Λέγετέ μοι νῦν, ὅπως ἐν δέλτοις γράψω,
65 „Τίνες ἐστέ, καὶ τίς ἔσθ' ἡ πληθὺς αὕτη,
„Ἥτις ὑμῶν κατὰ νῶτ' ὄπισθε βαίνει."
Οὐκ ἄλλως ὀρέσβιος πτοητὸς μένει,
Ἔκπληκτός τε κἄφωνος γυρόθεν βλέπει,
Ὅτ' εἰσέρχετ' ἀγροῖκος καὶ βλὰξ εἰς πόλιν,
70 Ἡ ποιοῦσ' ἐφαίνετο σκιῶν ἑκάστη.
Ἐπεὶ δ' ἀπηλλάγησαν τοῦ θάμβους, ὅπερ
Τάχος πραΰνετ' ἐν γενναίαις καρδίαις,
"Μάκαρ εἴης σύγ', ὃς χωρῶν ἡμετέρων,"
Ἤρξατο λέγων ὁ πρῶτον ἐρωτήσας,
75 „Ποιῇ δὴ πεῖραν πρὸς βελτίωσιν βίου!

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Ἡ βαίνουσ' ἡμῶν κατόπιν πληθὺς πταῖσμα
„Ἔπραξε, δι' ὃ θριαμβεύων ὁ Καῖσαρ
„Βασιλὶς καλούμενος ἤκουσ' ἐπ' αἴσχει.
„Τοὔνεκ' οἴχονται Σόδομα προβοῶντες,
80 „Ἑαυτούς τ' ἐγκαλοῦντες, ὡς ἠκροάσω,
„Τῆς αἰσχύνης τὴν καῦσιν ἐπαυξανούσης.
„Ἑρμαφρόδιτόν ἐστιν ἡμῶν τὸ πταῖσμα·
„Ἀλλ' ὄντες νόμου φύσεως παραβάται,
„Ἀκολουθοῦντες ὀρέξεσιν ὡς κτήνη,
85 „Πρὸς ὀνειδισμὸν ἡμῶν ἀναβοῶμεν,
„Ἀποχωριζόμενοι, τοὔνομ' ἐκείνης,
„Ἥτις ἐν μορφῇ κτήνους ἀπεκτηνώθη.
„Νῦν ἔγνως ἡμῶν ἁμάρτημα καὶ πράξεις.
„Εἰ δὲ τοὔνομ' ἑκάστου μαθεῖν ἐθέλεις,
90 „Καιρὸς οὐκ ἔστι τοῦ λέγειν, οὐδὲ γνώσῃ.
„Ἀλλὰ λέξω σοι τοὐμόν· εἰμὶ Γουΐδος
„Γουϊνικέλλης· ἐμαυτὸν δὲ καθαίρω,
„Ἅτε μετανοήσας πρὸ τοὐμοῦ τέλους."
Οἷα δ' ᾔσθοντο, τοῦ Λυκούργου πενθοῦντος,
95 Οἱ δύο παῖδες μητέρ' αὖθις ἰδόντες,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τοιάδ' ᾐσθόμην, ἀλλ' οὐκ ἀμέτρως οὕτως,
Ὁπότ' ἤκουσ' ἑαυτὸν αὐτὸν καλοῦντα
Ἐμὸν πατέρα, κἄλλων ἐμοῦ κρειττόνων
Ἐν ἔρωτος ἡδέσι καὶ κομψοῖς στίχοις.
Οὔτ' ἀκούων ἢ λέγων, ἔβαινον σύννους,
Ἐπὶ μακρόν τε χρόνον πρὸς αὐτὸν βλέπων,
Τοῦ πυρὸς ἕνεκ' οὐ χωρῶν ἐγγυτέρω.
Ἐπεὶ δὲ θεώμενος ἐκορεσάμην,
Πρόθυμος αὐτῷ πρὸς πᾶν θέλημ' ἐδείχθην,
Ἐπιβεβαιῶν διὰ πειστικῶν λόγων.
Ὁ δὲ πρὸς ἐμέ· "Τοιαῦτ' ἐντυποῖς ἴχνη
„Ἐν ἐμοί, δι' ὧν λέγεις, καὶ τόσον φίλα,
„Ὥστ' οὔποτ' ἐξαλεῖψαι δύναιτ' ἂν Λήθη.
„Ἀλλ' εἰ τἀληθὲς ὤμοσαν οἱ σοὶ λόγοι,
„Εἰπέ μοι, διὰ ποίαν φιλεῖς μ' αἰτίαν
„Τοιαῦτα λέγων, οὕτω τε πρός με βλέπων."
Κἀγὼ πρὸς αὐτόν· "Τὰ σὰ γλυκέα μέλη,
„Ἐφ' ὅσον διαμενεῖ τὸ νέον ὕφος,
„Ἔτι φιλητὴν θήσει τὴν σὴν γραφίδα."—
"Ἀδελφέ, κεῖνος, ὃν δείκνυμι δακτύλῳ,"

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Εἶπε, δακτυλοδεικτῶν πνεῦμά τι πρόσθεν,
" Κρείττων ἦν τέκτων μητρικῆς αὐτοῦ γλώσσης.
,,Ἔρωτος στίχοις, πεζαῖς μυθοποιΐαις,
,,Πάντας ὑπερέβαλεν, ἐᾷ τε λέγειν
120 ,,Μωροὺς τὸν Λιμόβικα τούτου προέχειν.
,,Εἰς φωνὴν μᾶλλον ἢ τἀληθὲς τὴν ὄψιν
,,Τείνοντες, οὕτως ἐπάγουσι τὴν ψῆφον
,,Πρὸ τοῦ συμβούλῳ χρῆσθαι τέχνῃ καὶ λόγῳ.
,,Οὕτως ἔπραξαν ἀρχαῖοι πολλοὶ θρύλοις
125 ,,Ἀπαύστοις τῷ Γιττώνῃ φήμην διδόντες,
,,Ἕως τἀληθὲς ἴσχυσ' ἐκ μιᾶς γνώμης.
,,Εἰ τοίνυν δέδοταί σοι τοσαύτη χάρις,
,,Ὥστε σ' εἰς κοινόβιον ἱκέσθαι κεῖνο,
,,Ὅπου γε Χριστός ἐστιν Ἀρχιμανδρίτης,
130 ,,Ἓν Πάτερ ἡμῶν αὐτῷ δι' ἐμὲ λέγε,
,,Ὅσον ἡμᾶς δεῖ μένειν ἐν κόσμῳ τῷδε,
,,Ἔνθ' ἁμαρτάνειν πλέον ἡμῖν οὐκ ἔνι."
Εἶτ' ἴσως ἵν' ἑτέρῳ χώραν παράσχῃ,
Ὄντι πλησίον, ᾤχετο πυρὸς ἔσω,
135 Ὡς ἰχθὺς δι' ὕδατος αὐτὸν βυθίζων.

Προσελθὼν μικρὸν ᾧ πρῶτον ἔδειξέ μοι,
Εἶπον, ὡς αὐτοῦ τοὔνομα δεξιοῦσθαι
Χαριέντως ἦν οὐμὸς πόθος ἑτοῖμος.
Ὁ δ' εὐθέως ἤρξατο λέγων μοι τάδε·
140 "Τὸ σὸν φίλιον λέγειν μ' ἀρέσκει,
,,Ὥστ' οὐ θέλω σοι μένειν ἀγνώς.
,,Εἴμ' Ἀρνάλδος ἀεὶ κλαίων κᾷδων·
,,Αἱ μωρίαι λυποῦσί μ' αἱ πρίν.
,,Πλὴν χαρὰν ἐλπιστὴν χαίρων βλέπω.
145 ,,Δέομαί σου πρὸς χάριτος, ἢ
,,Πρὸς εὐφρόσυνον ὕψος σ' ἀνάγει,
,,Ἐπαρήγειν ὀδύναις ἐμαῖς."
Εἶτ' ἐντὸς πυρὸς καθαίροντος ἐκρύβη.

ΩΔΗ ΚΖ'.

Ἡ διὰ φλογῶν διάβασις.—Ἡ κατ' ὄναρ ἐμφάνισις τῆς Λείας.—Ἄφιξις εἰς τὸν Ἐπίγειον Παράδεισον.

Ὡς ὅταν πρώτας ἀκτῖνας ἀκοντίζῃ
Εἰς χώραν, ἔνθ' αἷμ' ἐξεχύθη τοῦ Πλάστου,
Ἴβηρος ὑπὸ Ζυγὸν αἰπὺν κειμένου,
Καὶ μεσημβρία φλέγει κύματα Γάγγου,
5 Οὕτως ἵσταθ' ἥλιος, κἄλην' ἡμέρα,
Ὅτε θεῖος Ἄγγελος ἡμῖν παρέστη.
Ἑστὼς ἦν πρὸ τοῦ χείλους, τῆς φλογὸς ἔξω,
Ἄδων: "Μάκαρες καθαροὶ τῇ καρδίᾳ,"
Φωνῇ γεγωνοτέρᾳ τῆς ἡμετέρας.
10 Εἶτ'· "Οὐδεὶς πρόσω πρὶν ἂν διέλθοι,
,,Ἅγιαι ψυχαί, τὸ πῦρ· ἔμβητ' οὖν ἔσω,
,,Καὶ πρὸς τἄσματα τἀκεῖθεν μὴ κωφοῦσθε."
Ὡς εἶπεν, ἡμῶν αὐτοῦ πλησίον ὄντων,
Τοιοῦτός τ' ἐγενόμην ἀκούσας ταῦτα,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

15 Οἷος ὁ τιθέμενος ἐντὸς τοῦ τάφου.
Συμπλέκτους ἄνω προέτεινα τὰς χεῖρας,
Προσβλέπων τὸ πῦρ, ἀναπολῶν τ' ἐν τρόμῳ
Ἅπερ ἀνθρώπων σώματ' ἔμφλογ' ἑώρων.
Ἐστράφησαν πρός μ' οἱ καλοὶ συνοδῖται·
20 Βιργίλιος δ' εἶπέ μοι· "Τέκνον, ἐνταῦθα
„Βάσανος τοῦτ' ἂν, ἀλλ' οὐ θάνατος εἴη.
„Μέμνησο, μέμνησο . . κεἰ σῶον ἐγώ σε
„Τοῦ Γηρύονος ἐτήρησ' ὁδηγήσας,
„Τί ποιήσαιμ' ἂν Θεοῦ νῦν ἐγγυτέρω;
25 „Ἔσο βέβαιος, ὡς εἰ καὶ χίλι' ἔτη
„Ἔμενες ἐν τῷ μέσῳ τῆς φλογὸς τῆσδε,
„Οὔτε τρίχα φαλακρὸν ποιήσαιτ' ἄν σε.
„Ἀλλ' ἢν ἀπατᾷν μέ σε νομίζῃς ἴσως,
„Πλησίασον δή, καὶ πρὸς πεποίθησίν σου
30 „Ταῖς σαῖς χερσὶ τὴν ἄκραν ἐσθῆτος ἔνθου.
„Ἀπόθου τοίνυν, ἀπόθου πάντα φόβον·
„Ὧδε στράφητι, καὶ χώρει μετὰ θάρρους."
Ἀλλ' ἀτρεμὴς ἱστάμην, καίτοι πιστεύων.
Ἰδών με δ' οὕτως ἀνένδοτον ἑστῶτα,

35 Μικρὸν ταραχθεὶς εἶπε· "Νῦν βλέπε, τέκνον,
„Βεάτρικος τεῖχός σε τόδε χωρίζει."
Ὡς Θίσβης τοὔνομ' ἐπιθανὴς ἀκούσας
Πύραμος ἤνοιξ' ὀφθαλμούς, καὐτὴν εἶδεν,
Ὅτ' ἐρυθρόχρους ἡ μορέα κατέστη,
40 Οὕτως ἡ 'μὴ στερῥότης κατεμαλάχθη,
Καὶ 'στράφην πρὸς Ἡγήτορ' ἐμὸν ἀκούσας
Ὄνομ' ἐν ἐμαῖς φρεσὶν ἐσαεὶ θάλλον.
Αὐτὸς δὲ τὴν κεφαλὴν σείσας· "Πῶς;" εἶπε,
"Θέλεις ἵν' ὧδε στῶμεν;" προσμειδιάσας,
45 Ὡς πρὸς παιδίον ἡττηθὲν ὑπὸ μήλου.
Ἔπειτ' εἰς τὸ πῦρ ἐμοῦ πρόσθεν εἰσέδυ,
Παρακαλῶν Στάτιον ἐλθεῖν κατόπιν,
Δι' ὁδοῦ μακρᾶς ἡμῶν ἀφεστηκότα.
Ἐγὼ δ' εἰσελθών, ἔπεσον ἂν ἡδέως
50 Εἰς ὕαλον ζέοντα τοῦ ψυχρανθῆναι·
Οὕτως ἦν ὑπέρμετρος ἐκεῖθ' ἡ καῦσις.
Ὁ γλυκὺς πατήρ, ἵν' ἐμβάλῃ μοι θάρσος,
Περὶ τῆς Βεάτρικος βαίνων ὡμίλει,
Λέγων· "Ὄμματ' αὐτῆς μοι δοκεῖ νῦν βλέπειν."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

55 Φωνή τις κεῖθεν ᾄδουσ' ἡμᾶς ὡδήγει·
Ἡμεῖς δὲ προσέχοντες πρὸς αὐτὴν ὅλως,
Ἐξήλθομεν ἔνθ' ἦν ἀρχὴ τῆς ἀνόδου.
"Οἱ τοῦμοῦ Πατρὸς εὐλογημένοι, δεῦτε,"
Ἤχησ' ἐκ φωτὸς ὄντος ἐκεῖ τοιούτου,
60 Ὥστ' ἰλιγγίων, οὐ δυνάμενος βλέπειν.
"Ἄπεισ' ἥλιος," ἐπεῖπ' "ἔπεισ' ἑσπέρα·
,,Μὴ μένετ', ἀλλὰ σπεύσατε διαβῆναι,
,,Πρὶν ἢ τὴν δύσιν ὁ ζόφος καταλάβῃ."
Ἀνάντης ἦν ὁ πόρος διὰ τῆς πέτρας
65 Πρὸς μέρος τοιόδ', ὥστ' ἀπεῖργον ἀκτῖνας
Ἐμοῦ πρόσθεν ἡλίου, κλίνοντος ἤδη.
Ἅμα δ' ὀλίγας ὑπερβάντες βαθμίδας,
Τὸν ἥλιον δύνοντα τῇ σκιᾶς σβέσει
Ἡσθόμεθ' ὄπισθ' ἐγώ τε χοἱ Σοφοί μου.
70 Καὶ πρὶν ἐν ἀπεράντοις μέρεσι πᾶσιν
Ὁρίζοντος γένηται πρόσοψις μία,
Τῆς τε νυκτὸς τὸ σκότος καλύψῃ πάντα,
Εἵλεθ' ἕκαστος ἡμῶν βαθμίδ' ὡς κοίτην·
Ἡ γὰρ τοὔρους τραχύτης ἡμῶν ἀφεῖλε

75 Τὴν ἀνόδου δύναμιν, ἀλλ' οὐ τὸν πόθον.
Οἷαι μηρυκίζουσαι μηκάδες αἶγες,
Ἀερσίποδες καὶ προπετεῖς ἑστῶσαι
Πέτρων ἐπ' ἄκρων, πρὶν ἔτι κορεσθῶσιν,
Ὑπὸ σκιὰν σιγηλαὶ βολῶν ἡλίου,
80 Ὑπὸ φύλαξίν τ' οὖσαι ποιμένος ῥάβδῳ
Ἐρειδομένου, καὐτὰς ἐπιτηροῦντος,
Οἷός τε μηλοβότης ἀγραυλῶν ἔξω,
Ἥσυχος πέριξ τῆς μάνδρας νυκτερεύων,
Ὅπως μὴ θῆρες σκορπίσωσι τὴν ποίμνην,
85 Τοιοῦτοι πάντες οἱ τρεῖς ἡμεῖς τότ' ἦμεν,
Ἐγὼ μὲν ὡς αἴξ, ἐκεῖνοι δ' ὡς αἰπόλοι,
Ὑπὸ πετρῶν πάντοθεν κεκυκλωμένοι.
Μικρὸν ἐνῆν οὐρανοῦ βλέπειν ἐκεῖθεν·
Πλὴν δι' ἐκείνου τοῦ μικροῦ τοὺς ἀστέρας
90 Ἔβλεπον λαμπροὺς καὶ μείζους τοῦ συνήθους.
Ὡς δ' αὐτοὺς θεώμενος διεσκεπτόμην,
Ὕπνος με κατέλαβεν, ὕπνος συχνάκις
Πρὶν ἢ τελεσθῇ τὰ μέλλοντα γινώσκων.
Καθ' ἣν ὥραν, οἴομαι, πρῶτον ἐξ ἕω

95 Ἠκτινοβόλησ' ἐπὶ τοῦρος Κυθήρη,
Ἀεὶ πυρὶ φλέγεσθαι δοκοῦσ' ἐρώτων,
Κατ' ὄναρ νέαν καλήν τ' ἐδόκουν βλέπειν
Δέσποιναν ἐν λειμῶνι περιϊοῦσαν,
Ἄνθη δρέπουσαν κᾷδουσαν λόγους τούσδε·
100 "Γνώτω πᾶς ζητῶν ὄνομ' ἐμὸν εἰδέναι
„Λείαν εἶναί με, περιάγουσαν χεῖρας
„Καλὰς τοῦ ποιῆσάι μοι πλέγμ' ἐξ ἀνθέων,
„Χαίρουσάν τ' ἐφ' ᾧ καλλύνομαι κατόπτρῳ.
„Οὔποτ' ἀφίησ' ἡ Ῥαχὴλ ἀδελφή μου
105 „Κάτοπτρον αὐτῆς, καθημένη πανῆμαρ.
„Ὄμματ' ἐφίετ' εὐειδέ' αὐτῆς βλέπειν,
„Ὡς ἐγὼ χερσὶν ἐμαυτὴν καλλωπίζειν,
„Ἐκείνη βλέπουσ', ἐγὼ δ' ἐργαζομένη."
Αἱ πρὸ τοῦ λυκόφωτος ἀπαυγαὶ δ' ἤδη,
110 Αἱ τόσον ἐυάρεστοι τοῖς ἀποδήμοις,
Ὅσον χωροῦσ' ἐπ' οἴκου παλινοστοῦντες,
Ἀπανταχόθεν ἀπεσόβουν τὰ σκότη,
Σὺν αὐτοῖς τ' ἐμὸν ὕπνον· ὅθεν ἠγέρθην,
Βλέπων τοὺς Σοφοὺς ἐξεγερθέντας ἤδη.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

115 "Ὁ γλυκὺς καρπός, ὃν ἐπὶ κλάδων τόσων
„Οἱ θνητοὶ πόθῳ μεριμνῶντες ζητοῦσι,
„Σήμερον δή σε τῆς πείνης καταπαύσει."
Ὁ Βιργίλιος πρός με τοιούτοις λόγοις
Ἐχρήσατο, κοὔποτ' ἂν ἐπινομίδες
120 Αὐτοῖς ὅμοιαι τὴν χαρμονὴν ὑπῆρξαν.
Τοιόσδε τῷμῷ πόθῳ πόθος ἐπῆλθε
Πρὸς ἀνάβασιν τοὔρους, ὥστ' εἰς πᾶν βῆμα
Ἠσθόμην αὔξοντ' εἰς πτῆσιν τὰ πτερά μου.
Ὡς δὲ κατελίπομεν κλίμακα πᾶσαν
125 Ὑφ' ἡμᾶς, κἀπ' ἐσχάτης ἦμεν βαθμίδος,
Ἐπ' ἔμ' ἔπηξε Βιργίλιος τὰς ὄψεις,
Λέγων· "Τὸ πρόσκαιρον πῦρ αἰώνιόν τε
„Κατεῖδες, τέκνον, κεἰς μέρος ἦλθες, ἔνθα
„Οὐ δύναμ' ἀπ' ἐμαυτοῦ διορᾷν πέραν.
130 „Ἤγαγόν σ' ὧδε δεξιῶς καὶ σὺν τέχνῃ·
„Τἀρέσκον σοι τὸ λοιπὸν ὁδηγὸν ἔχε.
„Ὁδῶν εἷς ἔξω στενῶν, ἔξω δυσβάτων.
„Τὸν ἥλιον ἐπὶ σὲ λάμποντα βλέπε.
„Βλέπε δὴ τἄνθη, τὴν χλόην καὶ τὰ δένδρα,

135 ,,Ὅσ' οἴκοθεν ἥδε γῆ παράγει μόνη.
,,Πρίν σοι φαιδροὶ φανῶσιν ὀφθαλμοὶ κεῖνοι,
,,Ὧν τὰ δάκρυα προέτρεψέ μ' ἐλθεῖν σοι,
,,Ἕζεσθ' ἢ βαίνειν δύνασ' ἐν πᾶσι τούτοις.
,,Μηκέτ' ἀνάμεν' ἐμοὺς λόγους ἢ νεῦμα·
140 ,,Ὑγιής ἐστιν ἐλευθέρα κ' εὐθεῖα
,,Ἡ σὴ κρίσις, ᾗ σφάλμ' ἂν ἦν τἀπειθεῖν σε.
,,Διό σ' ἀνυψῶν μιτρῶ καὶ περιστέφω."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΚΗ΄.

Ὁ Ἐπίγειος Παράδεισος.—Ὁ Ποταμὸς Λήθη.—
Ματίλδα.

Ἤδη ποθῶν ἀνευρεῖν ἐντὸς καὶ πέριξ
Τὸν πυκνὸν καὶ θάλλοντα θεῖον δρυμῶνα,
Ὃς ὄμμασι τὸ νέον φῶς μετριάζει,
Ἔλιπον χωρὶς ἀναβολῆς τὴν ὄχθην,
Προχωρῶν βάδην βάδην ἐν πεδιάδι,
Ἐπὶ γῆς πανταχόθεν μύρων ὀζούσης.
Αὔρα γλυκεῖα, παλιντροπίας ἄνευ,
Ἐπέψαυέ μου βολαῖς ἐπὶ μετώπου
Οὐ βαρυτέραις ἀνέμου μειλιχίου,
Ἧσπερ ταῖς πνοαῖς αἱ φυλλάδες τρομώδεις
Πρὸς τὸ μέρος ἔπιπτον συμπλήγδην, ἔνθα
Τὰς πρώτας σκιὰς τὸ σεπτὸν ὄρος τείνει.
Ἀλλ' οὐκ ἀλλήλων διΐσταντο τοσοῦτον,
Ὥστε κωλύειν στρουθία τῆς ἐπ' ἄκρων

15 Σὺν πάσῃ τέχνῃ συνήθους ἐργασίας·
Ἀλλὰ χαρᾶς ἔμπλεω τὰς πρώτας ὥρας
Ἡσμένιζεν ᾄδοντα μέσον τῶν φύλλων,
Ὧν ὁ θροῦς συνυπήχει ταῖς μελῳδίαις,
Οἷος ἐκ κλάδου διαδίδοτ' εἰς κλάδον
20 Ἐν τῷ πευκῶνι τὸ παρ' ἀκτὴν Κλασίου,
Ὅτ' Αἴολος ἀφίησ' ἔξω τὸν Εὖρον.
Τἀμὰ βραδέα βήματ' ἤγαγέ μ' ἤδη
Τοσοῦτον ἔσω τοῦ παλαιοῦ δρυμῶνος,
Ὥστε πόθεν εἰσῆλθον οὐκ εἶχον γνῶναι.
25 Ἰδοὺ δὴ τοῦ προχωρεῖν μ' ἀπεῖργε ῥύαξ
Κάμπτων ἐπ' ἀριστερὰ τοῖς κυματίοις
Αὐτοῦ τὴν πρὸς τὰς ὄχθας φύουσαν πόαν.
Τά λαμπρότατα τῆς γῆς ὕδατα πάντα
Ἐν αὐτοῖς ἂν μίγμα τι φέρειν ἐδόκει
30 Πρὸς τὸ διαυγὲς κἄσπιλον τοῦτο νᾶμα,
Καίτοι ζοφερόν, ζοφερὸν ἀεὶ ῥέον,
Ὑπὸ σκιὰν ἀκτῖνας οὔποτ' ἐῶσαν
Ἐκεῖ διήκειν ἡλίου καὶ σελήνης.
Ἐπισχὼν βῆμα, τοῖς ὄμμασι διέβην

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

35 Τοῦ ποταμίου πέραν, ὅπως θαυμάσω
Τὸ ποικιλανθὲς τοῦ χλοεροῦ Μαΐου.
Ἐκεῖ δ' ἐπεφάνη μοι, καθώς ποτ' αἴφνης
Ἐπιφαίνεται πρᾶγμά τι παρεκτρέπον
Διὰ θαυμασμοῦ πάντα λογισμὸν ἄλλον,
40 Γυνὴ μονήρης, ἥτις περιεπάτει
Ἅδουσα κἀξ ἀνθέων ἐκλέγουσ' ἄνθη,
Ὧν ὁδὸς αὐτῆς ἦν κατάστικτος πᾶσα.
"Ὦ κάλλιμε Δέσποινα, σαυτὴν ἐρώτων
,,Πυρὶ θερμαίνουσ,' εἴ μ' ἐκ μορφῆς εἰκάζειν
45 ,,Δεῖ, τῆς συνήθους μάρτυρος τῆς καρδίας,
,,Ἀξίωσον προσελθεῖν," εἶπον, "τοσοῦτον
,,Πρὸς τὸν ῥύακα τοῦτον, ὅσον ἀρκέσει
,,Ὅπως ἀκοῦσαι δυνηθῶ σῶν ᾀσμάτων.
,,Σύ μοι πῶς καὶ τίς ποτ' ἦν ἀναμιμνήσκεις
50 ,,Ἡ Περσεφόνη, καθ' ὃν χρόνον ἡ μήτηρ
,,Αὐτὴν ἀπώλεσ', αὕτη δ' ἔαρος ὥραν."
Ὡς σύνεγγυς ἀλλήλαις ἐπὶ γῆς πέζαις
Περιστρέφεται χορεύουσα παρθένος,
Ποῦν τε πρὸ ποδὸς προσεπιτείνει μόλις,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

55 Οὕτως ἐπὶ ῥοδόχρων χρυσῶν τ' ἀνθέων
Πρὸς ἔμ' ἐστράφη, παραπλησία κόρῃ
Τοὺς ὀφθαλμοὺς ἐξ αἰδοῦς κάτω κλινούσῃ,
Καὶ τὰς ἐμὰς ἀσμένως εὐχὰς ἐπλήρου,
Οὕτω προσεγγίσασ', ὥσθ' οἱ γλυκεῖς ἦχοι
60 Ἤρχοντ' εἰς ἐμὲ σὺν ταῖς αὐτῶν ἐννοίαις.
Ὡς δ' ἀφίκετ' ἔνθ' ἡ πόα λούετ' ἤδη
Ὑπὸ κυμάτων τοῦ καλλιῤῥόου ῥείθρου,
Ἡὐδόκησέ μοι τὰς ὄψεις ἀνατεῖναι.
Οὐκ οἴομ' ἀπαυγάσαι τοσοῦτον σέλας
65 Ἀπὸ βλεφάρων Ἀφροδίτης τρωθείσης
Ὑπὸ τοῦ τέκνου, παρ' ὃν εἴωθε τρόπον.
Ἐπὶ τῆς ἄλλης ὄρθιος ἐμειδία
Ὄχθης, ἐν χερσὶν ἄνθη φέρουσα πλεῖστα,
Ἐν τῇ σεμνῇ γῇ φυόμεν' ἄνευ σπόρων.
70 Τρία βήματ' ἐχώριζ' ἡμᾶς ὁ ῥύαξ·
Ἀλλ' Ἑλλήσποντος, χαλινὸς φιλαρχίας
Ἔτ' ἀνθρωπίνης, ἔνθα διέβη Ξέρξης,
Οὐ σκληρότερος ἀνεδείχθη Λεάνδρῳ,
Νηχομένῳ μεταξὺ Σηστοῦ κ' Ἀβύδου,

75 Ἦ τὸ ῥεῖθρον τότ' οὐκ ἀνοιγόμενόν μοι.
"Νεήλυδες ἔσθ' ὑμεῖς, καὶ τυχόν," εἶπεν,
"'Ως ἐν χώρᾳ μειδιῶ τῇδ' ἐκλεχθείσῃ,
"Ἵν' ᾗ φωλεὰ φύσεως ἀνθρωπίνης,
,,Κατέχει θαυμάζοντας ὑπόνοιά τις.
80 ,,Ἀλλ' ὁ ψαλμὸς Εὔφρανας τὸ φῶς παρέχει,
,,Ὃ δύνατ' ἀχλὺν νοὸς ὑμῶν σκεδάσαι.
,,Σὺ δ' ὁ προεστὼς καί με παρακαλέσας,
,,Φράσον, εἰ θέλεις ἀκούειν· καὶ γὰρ ἦλθον
,,Πρὸς πᾶν σὸν ζήτημ' ἀποκρίνασθ' ἑτοίμη."—
85 "Τὸ ῥέον ὕδωρ ὅ, τε θροῦς τοῦ δρυμῶνος,"
Εἶπον, "μάχονται πρὸς νέαν τινὰ πίστιν
,,Πράγματος, ὅπερ ἤκουσ' ὂν ἐναντίον."
Ἡ δέ· "Λέξω σοι, πῶς πρόεισ' ἐξ αἰτίας
,,Ἰδίας τοῦθ, ὃ θαυμάζοντα ποιεῖ σε,
90 ,,Νέφος τ' ἀπὸ σῶν φρενῶν ἀποσκεδάσω.
,,Τἆκρον Ἀγαθόν, αὐτάρεσκον ὂν μόνον,
,,Τὸν ἄνθρωπον ἀγαθὸν ἔπλασ', αὐτῷ τε
,,Μνῆστρ' αἰωνίου γῆν τήνδ' ἔδωκ' εἰρήνης.
,,Δι' ἴδιον σφάλμ' ἔμεινεν ὧδ' ὀλίγον,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

95 „Δι' ἴδιον σφάλμ' εἰς κλαυθμούς τε καὶ θλίψεις
„Μετέβαλε τὸ γελᾷν παίζειν τ' ἀθώως·
„Ἵν' ὁ ταραγμός, ὃς ὑπ' αὐτὴν γεννᾶται
„Ἐκ τῶν ἀτμίδων τῆς γῆς καὶ τῶν ὑδάτων,
„Τῶν τοῖς θάλπεσιν, ὡς οἷόν θ', ἑπομένων,
100 „Μὴ τοῖς ἀνθρώποις ἐνόχλησιν παράσχῃ,
„Ὅρος τόδ' εἰς οὐρανὸν οὕτως ἀνήρθη,
„Ἐλεύθερόν τ' ἔστ' ἐκεῖθεν, ἔνθ' ἐκλείσθη.
„Ὡς τοίνυν ὁ πᾶς ἀὴρ κυκλοφορήτως
„Περιστρέφεται σὺν τῇ πρώτῃ κινήσει,
105 „Εἰ διέῤῥηκται μηδαμόθεν ὁ κύκλος,
„Ἐν ὕψει τῷδε, τῷ πάντοθεν ἐκθέτῳ
„Εἰς αἰθέρα καθαρόν, ῥύμην ἐπάγει
„Ἠχεῖν ποιοῦσαν τὸν δρυμόν, πυκνὸν ὄντα.
„Οὕτω δὲ τὰ κλονηθέντ' ἰσχύει δένδρα,
110 „Ὥστ' ἰσχὺν αὐτῶν μεταδίδωσ' αἰθέρι,
„Ὃς στρεφόμενος διασκορπίζει πέριξ.
„Ἡ δὲ λοιπὴ γῆ, καθ' ὅσον ἔστ' ἀξία,
„Οἴκοθεν ἢ δι' ἑοῦ κλίματος κύει
„Τίκτει τ' εἰδῶν παντοίων παντοῖα δένδρα.

115 „Οὐ δεῖ τοίνυν θαυμάζειν ἐπὶ γῆς, ὅταν
„Τοῦτ' ἀκούσωσι, πῶς οὐδὲν φυτὸν ἄνευ
„Ὁρατοῦ σπόρου δύνατ' ἐκεῖ βλαστάνειν.
„Δεῖ δέ σ' εἰδέναι τὴν σεπτὴν χώραν τήνδε,
„Ἔνθ' εἶ, σπερμάτων πάντων ἔμπλεων εἶναι,
120 „Καρπὸν φέρειν θ', ὃν οὐδεὶς ἀλλαχοῦ δρέπει.
„Ὕδωρ, ὃ βλέπεις, οὐκ ἐκ φλεβὸς ἐκβλύζει,
„Ἣν ἀτμὸς τρέφει καὶ συμπήγνυσι ψῦχος,
„Ὡς ῥεῖθρον μειούμενον καὖξον ὑδάτων·
„Ἀλλ' ἕξεισ' ἐξ ἐμμενοῦς κἀείῤῥου κρήνης,
125 „Ἥτις ἐκ θείας βουλῆς δέχεται τόσον,
„Ὅσον ἑκατέρωθεν ὕδωρ προχέει.
„Καὶ μὴν ἐντεῦθεν καταῤῥεῖ σὺν δυνάμει
„Ἀφαιρούσῃ πταισμάτων προτέρων μνήμην,
„Κεῖθεν σωζούσῃ τὴν ἀγαθουργημάτων.
130 „Ἐντεῦθεν Λήθη, καθὼς ἐξ ἄλλου μέρους
„Εὐνόη κέκλητ', ἐνέργειάν τ' οὐκ ἔχει,
„Πρὶν αὐτοῦ γεύσηταί τις ἔνθεν κἀκεῖθεν.
„Τοῦδ' ἡ γλυκύτης πάσης ἄλλης προέχει.
„Καίτοι δ' ἀρκούντως σῆς δίψης κορεσθείσης,

135 „Ὥστε σε σαφηνισμῶν μὴ χρῄζειν ἄλλων,
„Τοῖς ἐμοῖς λόγοις προσθήσω τι πρὸς χάριν·
„Οὐκ οἴομαι δὲ φίλον ἧττόν σοι δόξειν,
„Ἐάν σοι πλείον' ὧν ὑπεσχόμην εἴπω.
„Ὅσοι ποιητῶν ἐξύμνησαν ἀρχαίων
140 „Τὸν χρυσοῦν αἰῶν', αὐτοῦ τ' εὐδαιμοσύνην,
„Τάχ' εἶδον ἐν Παρνασῷ χώραν τήνδ' ὄναρ.
„Ὧδ' ἦν ἀθώα τῶν ἀνθρώπων ἡ ῥίζα·
„Ὧδ' ἔαρ ἐστὶν ἀεὶ πᾶσά τ' ὀπώρα·
„Νέκταρ ἐστὶ τόδ', ὃ φημίζουσι πάντες."
145 Ἐστράφην ἐγὼ τότ' ὀπισθίως ὅλος
Πρὸς τοὺς ἐμοὺς Ποιητάς, οὓς εἶδον ὅτι
Γελῶντες τοὺς τελικοὺς ἤκουσαν λόγους·
Εἶτ' ὄψεις πρὸς τὴν καλὴν ἔτρεψα κόρην.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΚΘ'.

Αἱ Ἑπτὰ Λυχνίαι.—Οἱ Εἰκοσιτέσσαρες Πρεσβύται.—Τὸ Θριαμβικὸν Ἄρμα, ἢ ὁ Θρίαμβος τῆς Ἐκκλησίας.

Ἡ δ' ᾄδουσ', ὥσπερ ἐρωτόληπτος κόρη,
Πέρας τοῖς αὐτῆς προσεπέθετο λόγοις·
"Μάκαρες ὅσων τὰ πταίσματ' ἐκαλύφθη."
Ὡς δ' εἴπερ ἐπλανῶντο νύμφαι μονήρεις
5 Ὑπὸ σκιὰς ἄλσεων, ἐπιθυμοῦσαι
Αἱ μὲν ὁρᾷν ἥλιον, αἱ δ' ἀποδρᾶναι,
Αὕτη τότ' ἔβαιν' ἐναντίον τοῦ ῥείθρου
Ἐπὶ τῆς ὄχθης· ἐγὼ δ' εἰπόμην βάδην
Βήματι μικρῷ τοῖς βήμασιν ἐκείνης.
10 Οὐκ ἦν ἑκατὸν βήματ' αὐτῆς ἐμοῦ τε
Σύναμ, ὅτε, τῶν ὀχθῶν ἀμφοῖν ἐπίσης
Ἀποτραπεισῶν, εὑρέθην ὢν πρὸς ἕω.
Ὡς δὲ μικρόν τι προὔβημεν ἄμφω μόλις,
Ἡ Δέσποινα πρὸς ἐμὲ πάμπαν ἐστράφη,

15 "Ἀδελφέ, βλέπε κἄκουε," προσφωνοῦσα.
Ἰδοὺ δὴ λάμψις διέδραμ' αἰφνιδία
Ἀπανταχόθεν τοῦ μεγάλου δρυμῶνος,
Οἵαν ἐδόκουν ἀστραπὴν ἴσως εἶναι·
Ἀλλ' ὡς ἡ μὲν ἀστραπὴ πέφευγ' ἐλθοῦσα,
20 Ἡ λάμψις δ' αὕτη διαρκοῦσ' ἐπὶ μᾶλλον
Ηὔγαζ', ἐλογιζόμην, τί τοῦτ' ἂν εἴη.
Καὶ μελῳδία διέτρεχε γλυκεῖα
Δι' ἀέρος τηλαυγοῦς, ὥστε δικαίως
Κατεμεμφόμην τοῦ τολμήματος Εὔαν·
25 Ἐκεῖ γὰρ ἔνθ' ὑπεῖκον οὐρανὸς γῆ τε,
Θήλεια μόνη, καίπερ ἄρτι πλασθεῖσα,
Μένειν ὑπ' οὐδέν' οὐκ ἠνέσχετο πέπλον.
Εἴπερ ὑπ' αὐτὸν ἔμενεν αἰδημόνως,
Τῶν ἀφάτων ἂν τέρψεων ᾐσθανόμην
30 Ἐκείνων πρῶτον, κἆτ' ἐπὶ μακρὸν χρόνον.
Ἐν ᾧ δ' ἄφροντις ἐβάδιζον ἐν μέσῳ
Τόσων ἀπαρχῶν ἡδονῆς αἰωνίου,
Πόθον τ' ἔτ' εἶχον θυμηδιῶν πλειόνων,
Ἡμῶν πρόσθεν ὅμοιος πυρὶ φλογώδει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

35 Ὁ πᾶς ἦν ἀὴρ ὑπὸ χλοεροὺς κλάδους,
Γλυκύς τ' ἀσμάτων ἦχος ἠκούετ' ἤδη.
Δι' ὑμᾶς εἴποτ', ὦ πάναγνοι Παρθένοι,
Πεῖναν ὑπέστην καὶ ψύχη κἀγρυπνίας,
Ἀρωγούς μοι νῦν ὑμᾶς ἐπικαλοῦμαι·
40 Νῦν ἐξ Ἑλικῶνός μοι ῥευσάτω νᾶμα·
Σύ τ', Οὐρανία, σὺν χορῷ μοι βοήθει,
Ἵν' εἴπω μεγαθαμβῆ πράγματ' ἐν στίχοις.
Μικρόν τι πόῤῥω χρύσιν' ἑπτὰ παρίστη
Δένδρ' ἐσφαλμένως ὁ μέσον μακρὸς χῶρος,
45 Ὃς ἦν ἔτι μεταξὺ τούτων ἡμῶν τε.
Ἀλλ' ὅτ' αὐτῶν τοσοῦτον ἐγγὺς προέβην,
Ὅσον τὴν ἀπατηλὴν κἀσαφῆ φάσιν
Ἡ πραγματικὴ διεδέξατο θέα,
Ἡ τῷ νῷ παρέχουσα δύναμις κρίσιν
50 Λυχνίας ἀνέδειξε, λυχνίαι τ' ἦσαν,
Καὶ τὰς φωνὰς Ὠσαννὰ ψαλμοῖς ᾀδούσας.
Ὑψοῦ δ' οἱ περικαλλεῖς ἐφεγγοβόλουν
Λαμπτῆρες λαμπρότεροι λαμπρᾶς σελήνης
Ἐν μέσῳ νυκτὸς μηνὸς αὐτῆς μεσαίου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

55 Ἐγὼ δ' ὅλος θαυμασμοῦ πλήρης ἐστράφην
Πρὸς Βιργίλιον· ὁ δ' ἀπεκρίνατό μοι,
Τὴν ὄψιν ὧν οὐχ ἧττον ἐκπεπληγμένος.
Τότ' ὄμματ' ἔτειν' εἰς τὰς λαμπρὰς λυχνίας,
Κινουμένας πρὸς ἡμᾶς βραδέως οὕτως,
60 Ὥσθ' ὑπὸ νέων νυμφῶν ἂν ἐνικῶντο.
Πρὸς ἐμὲ δ' ἔκραξ' ἡ Δέσποινα· "Τί φλέγῃ
,,Οὕτως ἐπὶ τῇ θέᾳ τῶν ζώντων φώτων,
,,Κὤπισθ' οὐχ ὁρᾷς τοὺς τούτοις ἑπομένους;"
Τότ' εἶδον ἄνδρας ἐρχομένους κατόπιν
65 Αὐτῶν, ὥσπερ ὁδηγῶν, λευχειμονοῦντας·
Λευκότης δ' οὔποτ' ἀνεφάνη τοιαύτη·
Ἔλαμπ' ἐπ' ἀριστερὰ στίλβων ὁ ῥύαξ,
Τὴν ἀριστεράν τ' ἀντανέκλα πλευράν μου,
Ἐν αὐτῷ προσβλέποντος, ὡς ἐν κατόπτρῳ.
70 Ὡς δ' ἐξ ὄχθης τῆς ἐμῆς τόσον προῆλθον,
Ὅσον μ' ἀπεχώριζεν ὁ ῥύαξ μόνον,
Ἀνέστειλα τό βῆμα τοῦ βλέπειν ῥᾷον·
Καὶ προπορευομένας τὰς φλόγας εἶδον,
Χρωματιζούσας ὄπισθεν τὸν ἀέρα,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

75 Ὁμοίας τε σημαίαις ἐκπεπταμέναις·
Ὁ δ' ἀὴρ ἄνω τμητὸς ἑπτὰ ταινίαις
Ἐφαίνετ' ἐκ χρωμάτων, οἷς ἐκοσμήθη
Τόξον Ἡλίου, ὅ, τε ζωστὴρ Δηλίας.
Σημαῖαι δ' αὗται προὐτείνοντ' ἔτι πόῤῥω
80 Τῆς ἐμῆς ὁράσεως, ὅσον τ' εἰκάσαι,
Ἀπεῖχον ἀπ' ἀλλήλων βήματα δέκα.
Ὑπ' οὐρανὸν κάλλιμον, ὡς περιγράφω,
Εἴκοσι καί τέσσαρες πρεσβύται βάδην
Σύνδυο κρίνοις προήρχοντ' ἐστεμμένοι·
85 Ἅπαντες δ' ᾖδον· "Εἴης εὐλογημένη
,,Ἐν θυγατράσιν Ἀδάμ, κηὐλογημέναι
,,Εἴησαν αἱ σαὶ καλλοναὶ δι' αἰῶνος."
Ὡς δὲ τἄνθη καὶ λοιπὰς χλοερὰς πόας
Ἐκ τῆς ἑτέρας ὄχθης τῆς ἀντικρύ μου
90 Ὑπερέβησαν ἄνδρες ἐκλεκτοὶ κεῖνοι,
Ὡς ἔπετ' ἐν οὐρανῷ φωστὴρ φωστῆρι,
Αὐτῶν ἐγγὺς τέσσαρα προῆλθε ζῶα,
Ἕκαστον θαλλοῖς ἐστεμμένα πρασίνοις,
Ἕκαστόν θ' ἓξ πτέρυξιν ἐπτερωμένα,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

95 Πτεροῖς τ' ὀμμάτων πλήρεσιν, ὥστε τ' Αργου
Αὐτοῖς ἂν παρόμοι' ἦν, εἰ νῦν ἦν ζῶντα.
Πρὸς διαγραφὴν τῶν μορφῶν αὐτῶν στίχους,
'Αναγνῶστ, οὐ δαπανῶ, δαπάνης ἄλλης
Οὐ συγχωρούσης ὧδ' ἔμ' ἀφειδέ' εἶναι.
100 'Αλλ' 'Εζεκιὴλ ἀνάγνωθι τὸν ταῦτα
Διαγράψανθ', ὡς εἶδεν ἐκ ψυχρῶν τόπων
'Ερχόμεν' ἐν νέφεσι, πυρὶ κἀνέμοις.
Οἷα δ' ἐν αὐτοῦ δέλτοις ὄψει, τοιάδε
Ἦν ἐκεῖ τάδε, πλὴν τῶν πτερῶν ἐν οἷς μοι
105 'Ιωάννης συμφωνεῖ, κἀπᾴδει κείνῳ.
Μέσον τῶν τεσσάρων ἦν ἅρμ' ἐπὶ δύο
Τροχῶν προβαῖνον, ὡς ἂν ἐπὶ θριάμβῳ,
'Από τε γρυπὸς ἑλκόμενον τραχήλου.
Οὗτος δ' ἔτεινε πτέρυγας ἀμφοτέρας,
110 Ἔχων ἑκατέρωθεν τρισσὰς ταινίας,
Ὡς μηδεμίαν προσβλάπτειν διασχίζων·
Ὑψοῦντο δ' οὕτως, ὡς μὴ θεατὰς εἶναι.
Ὅσον ἦν ὄρνις, χρύσιν' εἶχε τὰ μέλη,
'Αλλὰ πορφυρομιγῆ καὶ λευκὰ τἆλλα.

115 Οὐ μόνον δι' ἅρματος οὕτω καλλίμου
Οὐκ ἕτερψ' Ἀφρικανὸς κ' Αὔγουστος Ῥώμην,
Ἀλλ' εὐτελὲς ἂν πρὸς τοῦτ' ἦν τὸ τοῦ Φοίβου,
Τὸ τοῦ Φοίβου τὸ καὲν ἐν τῇ πλανήσει
Τῇ τῆς εὐσεβόφρονος Γῆς παρακλήσει,
120 Ὅτε Ζεὺς ἦν δίκαιος ἐν ἀποῤῥήτοις.
Τρεῖς ἤρχοντ' ἐκ δεξιοῦ τροχοῦ γυναῖκες
Ἐν γύρῳ χορεύουσαι· τούτων ἡ μία
Ἦν ἐρυθρόχρους, ὡς εἴπερ ἦν πῦρ καῖον·
Ἡ δ' ἄλλη τοιάδ', ὡς εἰ σάρκας ὀστᾶ τε
125 Πεπλασμέν' εἶχεν ἐκ σμαραγδίνου λίθου·
Ἡ τρίτη δ' ἦν ὡς χιὼν ἄρτι πεσοῦσα.
Ὁτὲ μὲν ἐκ τῆς λευκῆς ἕλκεσθ' ἐδόκουν,
Ὁτὲ δ' ἐκ τῆς ἐρυθρᾶς· πρὸς δ' ᾖσμα ταύτης
Αἱ λοιπαὶ βραδὺ ταχύ τε βῆμ' ἐῤῥύθμουν.
130 Ἐπὶ λαιὰ τέσσαρες ὠρχοῦντ' ἐν κώμῳ,
Ἐνδεδυμέναι πορφύραν, πρὸς τὸ μέτρον
Μιᾶς αὐτῶν ἐχούσης ὄμματα τρία.
Μεθ' ὃν διέγραψ' ὧδε σύλλογον εἶδον
Δύο γέροντας τὴν ἐσθῆτ' ἀνομοίους,

135 Ἀλλ' ὁμοίους τὴν πρᾶξιν, τιμὴν κἀξίαν.
Ὁ μέν τις εἶναι τῶν ὀπαδῶν ἐδόκει
Προὔχοντος Ἱπποκράτους, ὅνπερ ἡ φύσις
Ἔπλασ' ὑπὲρ ὧν μᾶλλον κήδεται ζῴων·
Ὁ δ' ἀντίθετον προαίρεσιν ἐδείκνυ,
140 Φέρων ὀξεῖαν καὶ φαεινὴν ῥομφαίαν,
Ἧς ἔσχον τρόμον, καίτοι πέραν τοῦ ῥείθρου.
Τέσσαρας εἶδον ταπεινοὺς τὸ σχῆμ' εἶτα,
Κατόπιν τ' αὐτῶν ἄνδρα πρεσβύτην μόνον
Ἐρχόμενον ἔνυπνον ἔμφρονά θ' ἅμα.
145 Ἑπτὰ δ' οὗτοι τὴν στολὴν ἦσαν ὁμοῖοι
Τοῖς τοῦ πρώτου συλλόγου, πλὴν ὅτι κρίνοις
Οὐκ εἶχον τὴν κεφαλὴν κεκοσμημένην,
Ἀλλὰ ῥόδοις κἄνθεσι πορφυροῖς ἄλλοις.
Ὀμόσαιμ' ἂν ὡς ἐφαίνοντο μικρόν τι
150 Πόῤῥωθεν φλεγόμενοι μετώπων ἄνω.
Τὸ δ' ἅρμ' ὅτε μου κατέναντι παρέστη,
Ἠκούσθη βροντή, σεβαστοί τ' ἄνδρες κεῖνοι
Ἐδόκουν κωλύεσθαι τοῦ χωρεῖν πρόσω,
Μένοντες ἐκεῖ σὺν ταῖς πρώταις σημαίαις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ Λ΄.

Βεάτριξ.

Ὅτ' Ἄρκτος ἐπταφαὴς οὐρανοῦ πρώτου,
Ἡ δύσιν οὔποτ' οὔτ' ἀνατολὴν ἔγνω,
Οὔτ' ἄλλο παρὰ τὸ τοῦ πταίσματος νέφος,
Ἑκάστῳ τ' ἐκεῖ τὸ χρέος ὑπεδείκνυ
5 Αὐτοῦ, καθάπερ Ἄρκτος ἡ κατωτέρω
Ὁδηγεῖ τὸν πρωρέα πρὸς τὸν λιμένα,
Ἕστηκ' ἀτρεμής, ἀψευδεῖς ἄνδρες κεῖνοι
Ἐλθόντες πρῶτον μέσον γρυπὸς αὐτῆς τε,
Ὡς πρὸς εἰρήνην ἐστράφησαν πρὸς θᾶρμα.
10 Ἐκ δὲ τούτων εἷς, ὡς σταλεὶς οὐρανόθεν,
Ἄδων τρὶς ἀνέκραξε: "Δεῦρ' ἐκ Λιβάνου
,,Νύμφη," καὐτοῦ πλησίον οἱ λοιποὶ πάντες.
Ὡς δ' οἱ μάκαρες, κλήσεως ἐπ' ἐσχάτης
Ἀναστήσονται σπουδῇ πάντες ἐκ τάφου,
15 Ἀλαλάζοντες φωναῖς ἀνακτηθείσαις,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Οὕτως ἑκατὸν ἐφ' ἅρματος τοῦ θείου
Ἐγερθέντες, τῇ φωνῇ σεπτοῦ πρεσβύτου,
Ὑπουργοί τε κἄγγελοι ζωῆς ἀφθίτου,
"Εὐλογημένος ὁ προσιών," ἐβόων,
Ἄνω καὶ πέριξ ἐπιῤῥίπτοντες ἄνθη,
"Δεῦτε χερσὶ πλήρεσι λείρια δότε."
Εἶδον ἐν ἀρχῇ τῆς ἡμέρας ποτ' ἤδη
Τὴν ἕω πᾶσαν ἐρυθρόχρουν, τόν τ' ἄλλον
Οὐρανὸν στολὴν κυαναυγῆ φοροῦντα,
Ἡλίου τ' ἀνατέλλον τὸ φῶς σκιῶδες,
Ὥστ' ὄμμασιν ἀτμίδων τῇ συμπυκνώσει
Δύνασθ' ἀντέχειν ἐπὶ πολὺ τὴν αἴγλην·
Οὕτως, ἐν μέσῳ νεφέλης ἐξ ἀνθέων
Ὑπ' ἀγγελικῶν χειρῶν ἀνυψωμένης,
Πάλιν ἐντὸς ἐκτός τε καταπιπτούσης,
Ἐπὶ καλύπτρας λευκῆς φέρουσ' ἐλαίας
Στέμμ', ἐφάνη μοι Δέσποιν' ὑπὸ πρασόχρουν
Πέπλον καὶ στολὴν χροιᾶς ὡς φλογὸς ζώσης.
Τὸ δ' ἐμὸν πνεῦμα, τὸ πολὺν ἤδη χρόνον
Οὐ καταβληθὲν ἐπὶ τῆς παρουσίας

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Αὐτῆς ἐκ θάμβους, ἐκπλήξεως καί τρόμου,
Πρὶν ἢ βλέμμασιν αὐτὴν ἀναγνωρίσῃ,
Κρυπτῇ δυνάμει, παρ' αὐτῆς ἐκρεούσῃ,
Ἔρωτος σφοδρὰν ἰσχὺν ᾔσθετ' ἀρχαίου.
40 Ἅμα δὲ προσβαλούσης τὰς ἐμὰς ὄψεις
Τῆς θαυμαστῆς ἀρετῆς, ᾗ μ' ἔτρωσ' ἤδη
Πρὶν τῆς παιδικῆς ἡλικίας ἐξέλθω,
Ἐστράφην ἐπὶ λαιὰ μεθ' οἵου θάῤῥους
Τρέχει παιδίον πρὸς τὴν αὐτοῦ μητέρα,
45 Ὅτ' ἔχει φόβον, ἢ περιπίπτει λύπαις,
Ἵν' εἴπω Βιργιλίῳ· "Ῥανὶς οὐ μένει
,,Αἵματος ἀτρόμητος ἐν τῇ σαρκί μου·
,,Ἀρχαίας φλογὸς αἰσθάνομαι σημεῖα."
Ἀλλ' οὐκ ἦν Βιργίλιος· κατέλιπέ με,
50 Φεῦ! Βιργίλιος ὁ γλύκιστος πατήρ μου,
Βιργίλιος, ὃς ἦν ἐμὴ σωτηρία·
Οὐδ' ὅ, τι περ ἀπώλεσ' ἡ πρώτη μήτηρ
Ἐκώλυσ' ἐμὰς παρειὰς τὰς ἐκ δρόσου
Καθαρὰς τοῦ μὴ νεφωθῆναι δακρύοις.
55 "Δάντη, διότι Βιργίλιος ἀπῆλθεν,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Οὐ δεῖ σε κλαίειν, οὐ δεῖ σε κλαίειν ἔτι·
„Προσήκει γάρ σε κλαίειν δι' ἄλλου ξίφους."
Ὡς ναύαρχον, ὃς ἀνὰ πρύμνην καὶ πρῴραν
Βαίνων ἐφορᾷ τοὺς κυβερνῶντας τἆλλα
Πλοῖα, καὶ πρὸς τὸ καλῶς πράττειν προτρέπει,
Οὕτως ἐπὶ τὸ λαιὸν χεῖλος τοῦ δίφρου,
Ὅτ' ἀκούσας ὄνομα τοὐμὸν ἐστράφην,
Ὅπερ δὴ κατ' ἀνάγκην ὧδ' ἀναγράφω,
Εἶδον Δέσποιναν τὴν πρὶν ἐπιφανεῖσαν
Ἐν ἀγγελικῇ πομπῇ καλύπτραν ὕπο,
Βλέμμα πρός με τείνουσαν πέραν τοῦ ῥείθρου.
Καίπερ τῆς ἐκ κεφαλῆς, ἀνεστεμμένης
Ἀθηνᾶς φύλλοις, προσπιπτούσης καλύπτρας
Οὐκ ἐώσης φαίνεσθαι σαφῶς τὴν ὄψιν,
Βασιλικῶς καὶ τὸ σχῆμ' ἀγήνωρ ἔτι
Διετέλει λέγουσα, καθάπερ ὅστις
Τοὺς δριμυτέρους λόγους τηρεῖ κατόπιν.
"Βλέπε μ,' εἴμ' ὄντως, ὄντως εἰμὶ Βεάτριξ·
„Πῶς δ' ἠξίωσας εἰς τοῦρος ἀναβῆναι;
„Οὐκ ᾔδεις τὸν ἄνθρωπον εὐτυχεῖν ὧδε;"

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Τὰς ὄψεις ἔκλιν' ἐπὶ τὸ στιλπνὸν νᾶμα·
Ἰδὼν δ' ἐμαυτὸν ἔτρεψα πρὸς τὴν πόαν·
Τοσαύτη κατέλαβέ μ' αἰδὼς τὰς φρένας.
Ὡς δὲ μήτηρ αὐστηρὰ φαίνεται τέκνῳ,
80 Οὕτως ἐφάνη πρὸς ἔμ'· ἡ γὰρ τραχεῖα
Οἰκτιρμοσύνη πικρὰν ἔχει τὴν γεῦσιν.
Ἡ μὲν ἐστώπησεν· ἄγγελοι δ' ἦσαν
"Ἤλπισ' ἐπὶ σοί, Κύριε," παραυτίκα,
Ἀλλ' οὐ πέραν τοῦ "τοὺς πόδας μου" προβάντες.
85 Ὡς δ' ἡ χιὼν μεταξὺ δρυμώνων ζώντων
Ἐπ' Ἰταλίας τῶν νώτων κρυσταλλοῦται,
Ἐξ Ἰλλυρικῶν ἀνέμων συμπαγεῖσα,
Κᾆτα τήκεται κἀν αὐτῇ διαχεῖται
Ἅμα ταῖς πνοαῖς ταῖς ἐκ χωρῶν Ἀσκίων,
90 Ταῖς τὸν κηρόν, ἅτε πῦρ, διατηκούσαις,
Οὕτως ἦν ἄνευ στεναγμῶν καὶ δακρύων
Πρὶν ᾄσωσιν οἱ ῥυθμοὺς ἀεὶ τηροῦντες
Συμφώνους ῥυθμοῖς τῶν αἰωνίων κύκλων.
Ἀλλ' ὅτ' ἐκ μελῳδιῶν ἡδίστων ἔγνων
95 Τὸν πρὸς ἔμ' αὐτῶν ἔλεον μᾶλλον, εἴπερ

Ἔλεγον· "Γύναι, τί τόνδε λυπεῖς οὕτως;"
Ὁ περὶ τὴν καρδίαν στυφθείς μοι πάγος
Εἰς ὕδωρ κἀέρ' ἐτράπη, κἀγωνίᾳ
Δι' ὀμμάτων στόματός τ' ἔβλυσ' ἐκ στήθους.
Ἡ δ' ἀκίνητος εἰς τὸ δεξιὸν χείλος
Ἱσταμένη τοῦ δίφρου πρὸς τὰς ἁγίας
Οὐσίας εἶτα λόγον ἔτεινεν οὕτως·
"Εἰς φῶς ὑμεῖς ἄφθιτον ἐγρηγορεῖτε,
,,Ὥστ' οὐδὲν νὺξ οὐδ' ὕπνος ἀφ' ὑμῶν κρύπτει
,,Τῶν βημάτων, οἷς αἰὼν ὁδὸν ἀνύει.
,,Ὅθεν ἀποκρίνομαι πλείονι κήδει,
,,Ὅπως ὁ πέραν κλαίων ἀκούσηταί μου,
,,Ὥστ' εἶναι πταῖσμα λύπην τε ταὐτοῦ μέτρου.
,,Οὐ μόνον ἔργῳ τῶν μεγάλων ἀντύγων
,,Τῶν ἰθυνουσῶν πᾶν σπέρμα πρός τι τέλος,
,,Κατὰ τὴν συμπίπτουσαν θέσιν τῶν ἄστρων,
,,Ἀλλ' οὐρανίων χαρίτων δαψιλείᾳ,
,,Ὧν ὑετὸς τηλίκους ἀτμοὺς παράγει,
,,Ὥστ' ὄψεις ἡμῶν μὴ δύνασθ' ἐφικέσθαι,
,,Ὠνὴρ οὗτος ἦν ἐν αὐτοῦ νέῳ βίῳ

,,Δι' ἑαυτοῦ τοιοῦτος, ὥστε πᾶσ' ἕξις
,,Καλὴ κἀγαθὴ θαυμαστὸν ἂν ἐποίει.
,,Ἀλλ' ἡ γῆ τόσῳ χείρων κἀγριωτέρα
,,Γίνετ' οὖσ' ἀνέργαστος κακόσπερμός τε,
120 ,,Ὅσῳ κέκτηται φύσιν γονιμωτέραν.
,,Χρόνον μέν τινα τῇ 'μῇ διεῖπον ὄψει,
,,Νεαροὺς αὐτῷ δεικνύουσ' ὀφθαλμούς μου,
,,Σὺν ἐμοί τ' ἄγουσ' εἰς ὁδὸν τὴν εὐθεῖαν.
,,Ἀλλ' ὡς ἐπὶ τὸν οὐδὸν ἦλθον δευτέρας
125 ,,Ἡλικίας μου καὶ μετήλλαξα βίον,
,,Ὁδ' ἀποστὰς ἀπ' ἐμοῦ πρὸς ἄλλ' ἐτράπη.
,,Ὅτ' οὖν ἐκ σαρκὸς ἀνυψώθην εἰς πνεῦμα,
,,Καλλονή τ' ἐμὴ κἀρετὴ προσηυξήθη,
,,Αὐτῷ φίλη κἀρεστὴ κατέστην ἧττον,
130 ,,Κεἰς ἀπατηλὴν τὸ βῆμ' ἔτρεψε τρίβον,
,,Εἰκόσι καλῶν ἑπόμενος ψευδέσιν,
,,Οὔποτ' ἐντελῶς ὑποσχέσεις πληρούσαις.
,,Μάτην ἐμπνεύσεις ἐπειράθην γενέσθαι
,,Αὐτῷ παντοίας κατ' ὄναρ καὶ καθ' ὕπαρ
135 ,,Πρὸς ἀποτροπήν· ἀλλὰ μικρὸν προσέσχεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Οὕτω κατέπεσ', ὥστ' ἀπέβη πᾶν μέσον
„Ἀνήνυτον εἰς αὐτοῦ τὴν σωτηρίαν,
„Πλὴν τοῦ δεῖξ' αὐτῷ τἀπολωλότα πλήθη.
„Διὸ κατῆλθον εἰς τῶν νεκρῶν τὰς πύλας,
140 „Καὶ πρὸς τὸν ὁδηγήσαντ' αὐτὸν ἐνθάδε
„Προσήνεγκ' ἐμὰς κλαίουσα παρακλήσεις.
„Κατερρήγνυτ' ἂν ὑψηλὴ βουλὴ θεία,
„Εἴ τις τὴν Λήθην διέβαιν' ἐδεσμάτων
„Τοιῶνδε γευσόμενος ἄνευ ἐράνου
145 „Τῆς ἐκχεούσης δάκρυα μετανοίας."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΩΔΗ ΛΑ'.

Ἐπιπλήξεις Βεάτρικος καὶ Ὁμολογία Δάντου.—Ἡ Διάβασις τῆς Λήθης.—Αἱ Ἠθικαὶ καὶ αἱ Θεολογικαὶ Ἀρεταί.

"Ὦ σύγ' ὁ πέραν ἑστὼς τοῦ θείου ῥείθρου,"
Τρέψασα πρός με τὴν ἀκωκὴν τοῦ λόγου,
Οὗ τὴν δριμεῖαν κοπίδα πρὶν ᾐσθόμην,
Ἤρξατο πάλιν, ἐμμενῶς κἄνευ παύλης·
5 "Λέγε, λέγ' εἴ γ' ἀληθές· κατηγορίᾳ
„Συνομολογεῖν τοσαύτῃ σε προσήκει."
Αἱ 'μαὶ δυνάμεις κατεάγησαν οὕτως,
Ὥσθ' ἡφωνή μου κινηθεῖσ' ἀπεσβέσθη,
Πρὶν ἢ δυνηθῇ τοῦ στόματος ἐκβῆναι.
10 Ἐπέσχε μικρόν· "Τί δὴ σκοπεῖς;" εἶτ' εἶπεν,
"Ἀποκρίθητι· λυπρὰς γὰρ ἀναμνήσεις
„Οὐκ ἐξήλειψ' ἔτ' ἐν σοὶ τὸ Λήθης ὕδωρ."
Ἅμα σύγχυσις καὶ φόβος συμμιγέντες

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἀπέωσάν μου στόματος ναὶ τοιόνδε,
15 Ὥστε μόλις ἂν ὄμμασιν ἐνοεῖτο.
Ὡς βαλλίστρα ῥήγνυσιν ἐν ἀκοντίσει
Τὴν νευρὰν ἄγαν ταθεῖσαν καὶ τὸ τόξον,
Ἀσθενῶς δ' ἐπὶ σκοπὸν τὸ βέλος ἥκει,
Οὕτως ἐῤῥάγην ὑπὸ τὸν βαρὺν φόρτον,
20 Ἅμα δάκρυα καὶ στεναγμοὺς ἐκβάλλων·
Ἡ δὲ φωνὴ καθίετ' ἐν τῇ διόδῳ.
Τότ' αὐτὴ πρός με· "Κάτοχος ἐμῶν πόθων
„Τῶν ποιούντων σε τἀγαθὸν φιλεῖν μόνον,
„Οὗ χωρὶς οὐδὲν ἄξιόν ἐστι ζήλου,
25 „Ποίας τάφρους ἐμποδών, ποίας ἀλύσεις
„Εὗρες, ὥστε σε τοῦ χωρεῖν προσωτέρω
„Ἐδέησ' ἀποβαλεῖν οὕτως ἐλπίδα;
„Ποῖα δελεάσματά σ', ἢ ποῖα κέρδη
„Ἐπὶ μετώπου δεικνύμενα τῶν ἄλλων,
30 „Παρέσυραν πρὸς αὐτὰ τείνειν τὸ βῆμα;"
Στεναγμὸν πικρὸν ἀφιεὶς ἐκ τῶν στέρνων,
Μόλις πρὸς ἀπόκρισιν τὴν φωνὴν ἔσχον
Τοῖς χείλεσιν ἐγκόπως σχηματισθεῖσαν·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Εἶπόν τε κλαίων· "Πράγματα τὰ παρόντα
35 ,,Χάρματι ψευδεῖ τὰ βήματ' ἔτρεψέ μοι,
,,Ἅμ' ἀποκρυβέντος μοι τοῦ σοῦ προσώπου."—
"Εἴτ' ἔξαρνος εἶς, εἴτε σιωπᾷς," εἶπεν,
"Ὃ σὺ νῦν ὁμολογεῖς, γνωστὸν οὐχ ἧττον
,,Τὸ σὸν πταῖσμ' ἔσται παρὰ Κριτῇ παντόπτῃ·
40 ,,Ἀλλ' ὅτ' ἐξέρχετ' ἐκ στόματος ἰδίου
,,Ἡ μέμψις τοῦ πταίσματος ἐν αὐλῇ τῇδε,
,,Ὁ τροχὸς αὐτιστρέφετ' εἰς τὴν κοπίδα.
,,Πλὴν ὅμως, ὅπως ἔτι μᾶλλον αἰσχύνῃ
,,Ἐφ' οἷς ἥμαρτες, κἄλλοτε φανῇς μᾶλλον
45 ,,Καρτερόθυμος ἀκούων τὰς Σειρῆνας,
,,Κατάθες κλαυθμῶν τὸν φόρτον, κἀκροάζου·
,,Ἀκούσῃ γὰρ ὡς πρὸς τοὐναντίον μέρος
,,Ἔδει τοὐμὸν ἐνταφὲν ὠθεῖν σε σῶμα.
,,Οὔ ποτέ σοι παρέσχε φύσις ἢ τέχνη
50 ,,Τερπωλὴν οἵαν τὰ περικαλλῆ μέλη
,,Ἐν οἷς κατῴκουν, νῦν γεγονότα κόνις.
,,Εἰ δ' ἐστέρησαι τέρψεως τῆς μεγίστης
,,Διὰ τοῦ θανάτου μου, τί θνητὸν πρᾶγμα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Ἑλκύσαι πρὸς τὸν αὐτοῦ σ' ἔπρεπε πόθον;
55 ,,Μάλιστ' ὤφειλες, πληγὴν ἰδὼν τὴν πρώτην
,,Τῶν κιβδήλων ἀγαθῶν, ἀνεγερθῆναι
,,Πρὸς ἐμὲ παυσαμένην εἶναι τοιαύτην.
,,Οὐκ ἔδει σε πτέρυγας καθεῖναι κάτω,
,,Πληγὰς νέας προσμένοντ' ἤτοι κορίσκης,
60 ,,Ἢ κενότητος ἄλλης βραχυχρονίου.
,,Ἐνεδρεύεται δὶς ἢ τρὶς πτηνὸν νέον·
,,Ἀλλ' ἐνώπιον καλῶς ἐπτερωμένου
,,Μάτην ἡ χρῆσις ἢ βέλους ἢ δικτύου."
Ὡς αἰσχυντηλὰ κἄφωνα τὰ παιδία
65 Ἵσταθ' ἀκούοντ', εἰς γῆν ἐγκλίνοντ' ὄψεις,
Μετάμελα καὶ τὸ πταῖσμ' ὁμολογοῦντα,
Τοῖος ἱστάμην· ἡ δ' εἶπ'· "Ἐπειδὴ πάσχεις
,,Ἀκούων, ἆρον τὸν πώγωνα, καὶ λύπην
,,Αἰσθήσῃ πικροτέραν εἰς ἐμὲ βλέπων."
70 Ἥττονι πάντως ἐκριζοῦτ' ἀντιστάσει
Ῥωμαλέα δρὺς ὑπ' ἀνέμου βορείου,
Ἢ τοῦ πνέοντος ἀπὸ χωρῶν Ἰάρβα,
Ἧς ᾐσθόμην τὴν γένυν, ὡς ταχθείς, αἴρων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ὡς δ' ἀντὶ τοῦ προσώπου τὸν πώγων' εἶπε,
75 Καλῶς ἔγνων τὸν ἰὸν τοῦ νοουμένου.
Ὁπότε δὲ τὴν ἐμὴν ἀνέτειν' ὄψιν,
Παυσάμενα τὰ πρῶτα πλάσματ' ἐκεῖνα
Τοῦ ῥίπτειν ἄνθη κατεῖδεν ἐμὸν ὄμμα·
Ἡ δ' ὅρασίς μου μικρὸν ἀσφαλὴς ἔτι,
80 Τὴν Βεάτρικα διέκριν' ἐστραμμένην
Πρὸς τὸν θῆρ', ὃς ἦν ἓν ὂν εἰς δύο φύσεις.
Ὑπὸ καλύπτραν αὐτῆς καὶ πέραν ῥείθρου
Χλοεροῦ μοι τἀρχαίου κάλλους ἐδόκει
Ὑπερέχειν ὅσον ἦν ζῶσα τῶν ἄλλων.
85 Οὕτω μ' ἐκέντησ' ἡ κνίδη μετανοίας,
Ὥστ' ἄλλων πάντων τό με μᾶλλον ἑλκύσαν
Πρὸς ἔρωτ' αὐτῶν μισητὸν ἦν μοι μᾶλλον.
Ἔδηξ' ἐμὴν καρδίαν συνειδὸς τόσον,
Ὥσθ' ἡττηθεὶς ἔπεσον, τί τ' ἐγενόμην,
90 Ἡ τοῦ πάθους πρόξενος οἶδεν ἐκείνη.
Εἶτ' ἐνισχυθεὶς ξένως πως τὴν καρδίαν,
Τὴν Δέσποιναν, ἣν εὗρον πρότερον μόνην,
Ἐπ' ἔμ' εἶδον λέγουσαν· "Κράτει μου, κράτει."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἔσυρέ μ' ἐν τῷ ῥείθρῳ μέχρι τραχήλου,
95 Κἀνελκουσά μ' ὄπισθεν, ἔτρεχ' ἐπάνω
Τῶν ὑδάτων ἐλαφρὰ δίκην κερκίδος.
Ὡς δ' ἦν πλησίον τῆς μακαρίας ὄχθης,
Ἤκουσα "Ραντιεῖς με" γλυκέως οὕτως,
Ὥστ' οὐ μέμνημαι· πῶς ἆρ' οὖν περιγράψω;
100 Ἀνοικταῖς ἡ κάλλιμος Δέσποιν' ἀγκάλαις,
Κεφαλὴν περιπτύξασ', ἐβύθισέ με
Τοσοῦτον, ὅσον ἔδει με πιεῖν ὕδωρ.
Εἶτ' ἀνέσυρεν, ἄγουσά με λουσθέντα
Ἔσω τοῦ χοροῦ κορῶν καλῶν τεσσάρων,
105 Ὧν βραχίονί μ' ἐκάλυψεν ἑκάστη.
"Ὧδ' ἐσμὲν νύμφαι, κἀν οὐρανοῖς ἀστέρες.
,,Πρὶν ἢ καταβῇ Βεάτριξ εἰς τὸν κόσμον,
,,Ἐτάχθημεν παρ' αὐτῇ θεραπαινίδες.
,,Πρὸ τῶν ὀμμάτων αὐτῆς ἄξομέν σ'· ὅμως
110 ,,Θήξουσι τὰ σὰ πρὸς τὸ φῶς τοὐνδον λάμπον
,,Αἱ βλέπουσαι τρεῖς βαθύτερον ἐκεῖθεν."
Οὕτως ᾄδειν ἤρξαντο, κἆτα πρὸς στέρνον
Τοῦ γρυπὸς μεθ' ἑαυτῶν προσήγαγόν με,

Ἔνθ' ἦν Βεάτριξ πρὸς ἡμᾶς ἐστραμμένη,
115 Λέγουσαι· "Μὴ δὴ φείδου τῶν σῶν βλεμμάτων.
,,Ἰδού σ' ἔθεμεν ἔμπροσθεν τῶν σμαράγδων,
,,Ὅθεν ἔρως βέλεσί σ' ἠκόντισ' ἤδη."
Χίλιοι θερμότεροι τῆς φλογὸς πόθοι
Προσεκόλλησαν τἀμὰ τοῖς λαμπραυγέσιν
120 Ὄμμασιν, ἃ πρὸς τὸν γρύπ' ἦν ἠρεισμένα.
Οὐκ ἄλλως, ἀλλ' ὡς ἥλιος ἐν κατόπτρῳ,
Ὁ διφυὴς θὴρ ἐν αὐτοῖς ἀντανέκλα,
Νῦν μὲν τῇ μιᾷ, νῦν δὲ θἀτέρᾳ φύσει.
Σὺ δ' ὡς ἔκθαμβος ἦν, ἀναγνῶστα, νόει,
125 Βλέπων ἀτρεμῆ καθ' ἑαυτὸν τὸν θῆρα,
Ἀλλάσσοντα δ' ἐν αὐτοῦ φάσματι σχῆμα.
Ἐν ᾧ δὲ χαρμόσυνος καὶ πλήρης θάμβους
Ἐγεύετ' ἐμὴ ψυχὴ τῆς τροφῆς κείνης,
Ἡ κορεννῦσα τὴν ὄρεξιν αὐξάνει,
130 Ἐπιφανεῖσαι, τάξεως ὑψιτέρας
Τὴν θέαν, αἱ τρεῖς προεχώρησαν ἄλλαι,
Συνορχούμεναι τὸν ἀγγελικὸν ὅρμον·
"Στρέψον, Βεάτριξ, στρέψον τοὺς σοὺς ἁγίους

,,Ὀφθαλμοὺς πρὸς σὸν πιστόν," ἦν αὐτῶν τᾷσμα,
135 "Ὃς τόσην ὁδὸν ἤνυσεν, ἵνα σ' ἴδῃ.
,,Πρὸς χάριν ἐκκάλυψον, δεόμεθά σου,
,,Αὐτῷ τὸ σὸν μειδίαμ', ὅπως εἰσίδῃ
,,Τὴν δευτέραν καλλονήν, ἣν αὐτῷ κρύπτεις."
Ὦ τηλαύγεια φωτὸς ζῶντος ἀφθίτου,
140 Τίς ἔσθ' ὃς ὑπὸ σκιὰν κατωχριάσας
Παρνασοῦ, καὐτοῦ τῆς κρήνης πιὼν νᾶμα,
Οὐ δόξει τὸν νοῦν ἔχειν ἰλιγγιῶντα,
Ἐγχειρῶν περιγράψαι σ' οἷα παρέστης,
Ἔνθ' οὐρανὸς σκιάζει σ' ἐναρμονίως,
145 Ὅτ' ἀκάλυπτος εἰς τὸν ἀέρ' ἐφάνης;

ΩΔΗ ΛΒ'.

Τὸ Ξύλον τῆς Γνώσεως.—Ἡ Ἀνάβασις τοῦ Γρυπός.—Αἱ Μεταμορφώσεις τοῦ Ἄρματος.

Τόσον ὄμματ' ἦν τἀμὰ προσηρτημένα
Πρὸς κατάσβεσιν τῆς δεκαετοῦς δίψης,
Ὥστ' ἐξέλιπέ μοι πᾶσ' αἴσθησις ἄλλη·
Καὶ τοίχους εἶχεν ἐντεῦθέν τε κἀκεῖθεν
5 Τοῦ μὴ προσέχειν· οὕτω τὸ σεπτὸν μεῖδος
Ἐφεῖλκεν αὐτὰ τῷ δικτύῳ τἀρχαίῳ,
Ὅτε βιαίως ἔτρεψάν μου τὴν ὄψιν
Αἱ θεαὶ κεῖναι πρὸς τὴν λαιάν μου χεῖρα,
Λεγουσῶν ἀκούσαντος. "Ἀτενὴς ἄγαν."
10 Ὁ δ' ἀμβλυωγμός, ὅστις καταλαμβάνει
Τὰς ὄψεις ἄρτι πληγείσας ὑφ' ἡλίου,
Ἀνόμματον ἀκαρεῖ κατέστησέ με·
Ἀλλ' ἀναλαβὼν τὴν ὅρασιν μικρόν τι
(Λέγω δὴ μικρὸν ὡς πρὸς τὴν πολλὴν κείνην

15 Ἔκλαμψιν, ἀφ' ἧς ἐκ βίας ἀπεσπάσθην),
Εἶδον ἐπὶ δεξιὰν χεῖρα στραφεῖσαν
Τὴν ἔνδοξον στρατιὰν καὶ κινουμένην
Σὺν ἡλίῳ καὶ φλοξὶν ἑπτὰ κατ' ὄψιν.
Ὡς δ' ὑπ' ἀσπίδας πρὸς τὸ σωθῆναι φάλαγξ
20 Ἐν στροφαῖς συμπτήσσεται σὺν τῇ σημαίᾳ,
Πρὶν ἢ δυνηθῇ μέτωπον μεταλλάξαι,
Ὁ Κράτους οὐρανίου στρατὸς ἐκεῖνος
Ἡγούμενος πρόσθ' ἡμῶν παρήλασ' ἅπας,
Πρὶν τὴν ἅμαξαν ὁ ῥυμὸς ἐπικάμψῃ.
25 Εἶτ' ἐστράφησαν πρὸς τὰ κύκλ' αἱ γυναῖκες·
Ὁ γρὺψ δ' ἔσεισε τὸν εὐλογητὸν φόρτον,
Οὐδενὸς αὐτοῦ τῶν πτερῶν σαλευθέντος.
Ἡ καλὴ Δέσποιν', ἥ μ' ἔσυρ' εἰς τὸ ῥεῖθρον,
Εἵπετο τροχῷ σὺν ἐμοὶ καὶ Στατίῳ,
30 Ποιοῦντι τὴν τροχιὰν μείονι τόξῳ.
Οὕτω τὸν δρυμῶν' ἡμῶν διοδευσάντων,
Κενὸν σφάλματι τῆς πιστευσάσης ὄφει,
Ἆσμ' ἀγγελικὸν ἐῤῥύθμιζε τὸ βῆμα.
Ἴσως τόσην ἐν τρισὶ βολαῖς παρῆλθεν

35 Ἔκτασιν ἀκοντισθεὶς ὀϊστός, ὅσον
Προὔβημεν, ἕως ἡ Βεάτριξ κατέβη.
"Ἀδάμ!" ἤκουσα ψιθυρίζοντας πάντας.
Εἶτ' ἐκύκλωσαν δένδρον ἐστερημένον
Ἀνθέων φύλλων τ' ἄλλων ἐν παντὶ κλάδῳ.
40 Ἡ κόμη τοῦδ', ἢ τόσῳ μᾶλλον ὑψοῦται
Ὅσον εὐρύνετ', Ἰνδοῖς ἂν εἴη θαῦμα,
Ὡς πρὸς τὸ δένδρων ἐν δρυμοῖς αὐτῶν ὕψος.
"Μάκαρ εἶ σύ, γρύψ, ὅστις οὐκ ἀποδρύπτεις
,,Τῷ σῷ ῥάμφει τὸ γλυκὺ τῇ γεύσει ξύλον,
45 ,,Τὸ τῶν φαγόντων ἔγκατα διαστρέψαν."
Τοιάδ' οἱ λοιποὶ τοῦ ῥωμαλέου δένδρου
Πέριξ ἔκραζον· τὸ δὲ διφυὲς ζῶον·
"Οὕτω τηρεῖται σπέρμα παντὸς δικαίου."
Καὶ στραφὲν πρὸς τὸν ῥυμόν, ὃν εἵλκυσ' ἤδη,
50 Ἔσυρεν εἰς τοὺς πόδας τἀφύλλου δένδρου,
Αὐτῷ θ' ὅπερ ἦν αὐτοῦ δετὸν ἀφῆκεν.
Ὡς τὰ φυτὰ παρ' ἡμῖν, ὅτ' ἐπιπίπτει
Τὸ μέγα φῶς σύμμικτον φωτὶ κατόπιν
Τῶν οὐρανίων Ἰχθύων βολαυγοῦντι,

55 Οἰδαίνεται, κᾆτα πᾶν ἀνανεοῦται
Τῷ φυσικῷ χρώματι, πρὶν ἢ τοὺς ἵππους
Ἥλιος ὑφ' ἕτερον ἀστέρα ζεύξῃ,
Ἧττον μὲν ῥόδων, μᾶλλον δ' ἴων τὸ δένδρον
Χρῶμ' ἀναφαῖνον, ἀνεκαινίσθη πάλιν,
60 Ὃ δὴ πρότερον γυμνοὺς εἶχε τοὺς κλάδους.
Οὐκ ἐνόησ', οὔτ' ᾄδειν ἐν γῇ τὸν ὕμνον
Ἤκουσ', ὃν τότ' ἔψαλλον τὰ πλήθη κεῖνα,
Οὐδ' ὑπέστην ἀκοῦσαι τὴν μολπὴν πᾶσαν.
Εἰ δ' ἴσχυον φράζειν, πῶς ὕπνος κατέσχε
65 Τἄσπλαγχν' ὄμματ' ἐκεῖνα, Σύριγγος μύθῳ,
Ἃ τόσ' ἔπαθεν ἐκ πλείστης ἀγρυπνίας,
Ὡς ζωγράφος, ὃς κατὰ πρότυπον γράφει,
Περιέγραψ' ἂν οἷος ἤμην ἐν ὕπνοις·
Ἀλλ' ὅστις ἂν βούληται καλῶς γραψάτω.
70 Ὅθεν ἔρχομ' εἰς καιρὸν ὅτ' ἀφυπνίσθην,
Λέγων, ὡς λάμψις ἔῤῥηξέ μοι τὸν πέπλον
Ὕπνου καὶ κλῆσις. "Ἐγείρου, τί δὴ πράττεις;"
Οἷοι πρὸς θέαν ἀνθέων τῆς μηλέας,
Ἃ ποιεῖ λάβρους πρὸς τὸ μῆλον ἀγγέλους

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

75 Κἀλήκτους ἐν οὐρανῷ σκευάζει δαῖτας,
Πέτρος, Ἰωάννης τε σὺν Ἰακώβῳ
Ἀχθέντες, ἠγέρθησαν δαμέντες λόγῳ
Τῷ βαθυτέρους ὕπνους ἀπωσαμένῳ,
Τὸν χορόν τ' εἶδον αὐτῶν ἐστερημένον
80 Τῆς παρουσίας Ἠλία καὶ Μωσέως,
Διδασκάλου τ' ἐσθῆτα μεταβληθεῖσαν,
Τοιόσδ' ἠγέρθην, καὶ τὴν Δέσποιναν εἶδον
Ἱσταμένην ἐπ' ἐμέ, τὴν πρότερόν μοι
Τὸ βῆμ' ὁδηγήσασαν παρὰ τὸ ῥεῖθρον.
85 Ὅλος δ' ἀπορῶν εἶπον· "Ποῦστι Βεάτριξ;"
Ἡ δέ· "Βλέπ' αὐτὴν ταύτην ὑπὸ τὴν νέαν
,,Φυλλάδα καθημένην παρὰ τῇ ῥίζῃ.
,,Βλέπε καὶ τὴν κυκλοῦσαν αὐτὴν χορείαν.
,,Οἱ λοιποί, γρυπὸς κατόπιν, οἴχονθ' ἄνω
90 ,,Σὺν μολπαῖς ὑψηχέσι καὶ γλυκυτέραις."
Εἰ δὲ τὸν λόγον ἐμήκυνεν οὐκ οἶδα,
Ὡς οὔσης ἤδη πρὸ τῶν ἐμῶν ὀμμάτων
Ἐκείνης, ἣ λογισμῶν μ' ἀπεῖργεν ἄλλων.
Ἐπ' ἀληθοῦς γῆς ἐκαθέζετο μόνη,

95 Ὡς φύλαξ ἐκεῖ τεθεῖσα τῆς ἁμάξης,
Ἣν τῷ διμόρφῳ θηρὶ ζευκτὴν πρὶν εἶδον.
Αἱ δ' ἑπτὰ Νύμφαι πέριξ αὐτῆς ἐποίουν
Κύκλον, ἔχουσαι μετὰ χεῖρας λαμπάδας,
Οὐ σβεννυμένας ὑπὸ Βορρᾶ καὶ Νότου.
100 "Ὧδ' ἐπὶ βραχὺν ἔσῃ χρόνον ὑλαῖος·
,,Ἀλλ' ἐσαεὶ μετ' ἐμοῦ πολίτης ἔσῃ
,,Ῥώμης κείνης, ἔνθ' ἐστὶ Χρηστὸς Ῥωμαῖος.
,,Διό, χάριν τοῦ κόσμου τοῦ κακῶς ζῶντος,
,,Ἀτένιζε νῦν τὴν ἅμαξαν, ἃ δ' ὄψει,
105 ,,Ἐπανακάμψας ἐκεῖ, γράψον ἐν δέλτοις."
Ταῦτα Βεάτριξ· ἐγὼ δ' ὑπήκουσ' ὅλος
Γονυπετὴς ταῖς αὐτῆς παραγγελίαις,
Ἔνθ' ἤθελ' αὐτή, βλέμματα καὶ νοῦν τείνων.
Οὔ ποτ' ὠκείᾳ τόσον ὁρμῇ κατῆλθε
110 Πῦρ ἐκ πυκνῆς νεφέλης, ὅτ' ἀφ' ὁρίων
Ἀπωτάτων ἐκείνων ἐπὶ γῆς πίπτει,
Οἷον τὸν Διὸς ὄρνιν εἶδον ὁρμῶντα
Ἐπὶ τοῦ δένδρου κάτω, φλοιὸν ῥηγνύντα,
Μή τί γε τἄνθη καὶ τὰ νεαρὰ φύλλα,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

115 Καὶ τὴν ἅμαξαν πλήξαντ' ἰσχύϊ πάσῃ·
Ἡ δ' ἐδονήθη, καθὼς ναῦς ἐν θυέλλῃ
Ἑκατέρωθεν κύμασι κλονουμένη.
Εἶτ' εἰς τὸ κύτος τῆς πομπικῆς ἁμάξης
Αἴφνης εἰσπηδήσασαν ἀλώπεκ' εἶδον,
120 Δοκοῦσαν πάσης καλῆς τροφῆς ἐρήμην.
Ἀλλ' αὐτῆς αἰσχρὰς ἐλέγχουσ' ἁμαρτάδας
Ἡ 'μὴ Δεσπότις ἔτρεψ' εἰς φυγὴν τόσην,
Ὅσον ἐπέτρεπ' ὀστέα σαρκὸς ἄνευ·
Εἶτ' εἶδον ἐκ τοῦ μέρους, ὅθεν πρὶν ἦλθε,
125 Τὸν ἀετὸν καταβάντ' εἰς τῆς ἁμάξης
Τὴν κιβωτόν, ἣν πτίλων ἀφῆκε πλήρη.
Οἷα τ' ἐξέρχετ' ἐκ γοώσης καρδίας
Φωνή, τοιάδ' ἄνωθεν ἐξελθοῦσ' εἶπεν·
"Ὦ σκάφος ἐμόν, ὥς σοι κακὸς ὁ φόρτος!"
130 Ἔπειτα τὴν γῆν ἀνοιχθῆν' ἔδοξέ μοι
Μέσον τῶν τροχῶν, καὶ δράκοντ' ἐξιόντα
Κεἰς τὴν ἅμαξαν τὴν οὐρὰν πηγνύντ' εἶδον.
Καί, καθάπερ σφὴξ ἀνέλκουσα τὸ κέντρον,
Οὐρὰν ἰώδη σύρων ἐφ' αὐτόν, μέρος

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

135 Τοῦ πυθμένος ἀπέσπασ', ἕρπων τ' ἀπῆλθε.
Τὸ δ' ἀπόλοιπον, ὡς εὔγονος γῆ χλόῃ,
Τοῖς πτίλοις, τάχ' ἂν ἴσως προσενεχθεῖσι
Κατὰ πρόθεσιν καθαρὰν εὐμενῆ τε,
Κατεκαλύφθη· κεκαλυμμένοι τ' ἦσαν
140 Ἄμφω τε τροχοὶ καὶ ῥυμός· ἀλλ' οὐ τόσον,
Ὅσον στόνος ἀνοικτὸν κρατεῖ τὸ στόμα.
Οὕτω μεταμορφωθὲν τὸ σεπτὸν ἅρμα
Προὔβαλ' ἔξω κεφαλάς, τρεῖς μὲν ἐπάνω
Τοῦ ῥυμοῦ, μίαν δ' ἐν γωνιῶν ἑκάστῃ.
145 Κέρατ' ἔφερον ὡσεὶ βοῶν αἱ πρῶται,
Ἀλλ' αἱ τέσσαρες ἓν κέρας ἐν μετώπῳ.
Τοιοῦτο τέρας οὐδέποτέ τις εἶδεν.
Ἔμπεδον, ὡς ἐπ' ὄρους ὑψηλοῦ πέτραν,
Ἐπ' αὐτοῦ καθημένην ἀναιδῆ πόρνην
150 Εἶδον, καὶ βλέμμα γοργὸν κινοῦσαν πέριξ.
Ὡσεί τε φοβούμενον, μή τις ἁρπάσῃ
Αὐτήν, παρ' αὐτῇ γίγαντ' ὄρθιον εἶδον,
Ἄμφω τ' ἐσθ' ὅτε συμπεριπτυσσομένους.
Ἀλλ' ὡς τἄπληστον καὶ μάχλον αὐτῆς ὄμμα

155 Πρὸς ἔμ' ἐτρεψεν, ἐραστὴς ὠμὸς κεῖνος
'Εμάστιξ' αὐτὴν ἐκ κεφαλῆς εἰς πέζας.
Εἶτα ζηλοτυπίας ὀργῆς τε πλήρης,
Διαλύσας τὸ τέρας, εἰς τὸν δρυμῶνα
Ἔσυρ', ὅς μ', ὡς φραγμός, ἀπεῖρξε βλέπειν
160 Ἅμα τε πόρνην καὶ νεόπλαστον θῆρα.

ΩΔΗ ΛΓ'.

Ὁ Ποταμὸς Εὐνόη.

"Ἦλθοσαν ἔθνη, Θεός," ἀλλεπαλλήλως
Νῦν τρεῖς, νῦν δὲ τέσσαρες, ᾠδὰς γλυκείας
Ἔψαλλον αἱ γυναῖκες δακρυῤῥοοῦσαι.
Ἡ δὲ Βεάτριξ, στενάζουσ', ἐλεοῦσα,
Ἤκου' αὐτῶν, ὥστ' ἠλλοιώθη τὴν ὄψιν
Ὀλίγον πλέον πρὸ τοῦ σταυροῦ Μαρία.
Ἀλλ' ὅτ' αὐτῇ τὸν λόγον αἱ λοιπαὶ κόραι
Ἔδωκαν, ποσὶν ὄρθιος ἀναστᾶσα,
Ἀπεκρίνατο χροιᾷ φλοξὶν ὁμοίᾳ.
"Μικρόν τι κοῦμε θεωρεῖτε, καὶ πάλιν,
,,Ὦ τριφίλητοι καί μοι κεχαρισμέναι
,,Ὑμεῖς ἀδελφαί, μικρόν τι κώψεσθέ με."
Εἶτα προτάξασ' αὐτῆς τὰς ἑπτὰ πάσας,
Καὶ νεύματί με καὶ τὴν Δέσποιναν θεῖσα
Καὶ τὸν μείναντα Σοφὸν αὐτῆς κατόπιν,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Οὕτως ἐπορεύετο· νομίζω δ' ὅτι
Οὐ δέκατον ἐπὶ γῆς ἔθετο βῆμα,
Ὅτ' ἔτρεψεν ὄμματα πρὸς ὄμματά μου
"Ἐλθὲ τάχιον," εἶπεν ὄψει πραείᾳ,
20 "Τόσον, ὥστ', ἐὰν συνδιαλέγωμαί σοι,
„Εἶναί σε πρὸς τἀκούειν μᾶλλον ἑτοῖμον."
Ὡς δ' ἐγγὺς αὐτῆς, ὡς ὤφειλον, προσῆλθον,
Ἐπεῖπέ μοι· "Πῶς, ἀδελφέ, συμβαδίζων
„Μετ' ἐμοῦ λοιπόν, οὐ τολμᾷς ἐρωτᾷν με;"
25 Ὡς δὲ τοῖς ὁμιλοῦσι μετ' αἰδοῦς ἄκρας
Ἔμπροσθεν ἀνδρῶν τάξεως ἀνωτέρας
Οὐκ ἐξέρχετ' ὀδόντων ἡ φωνὴ ζῶσα,
Κἀμοὶ συνέβη, κἄνευ ἐντελοῦς φθόγγου
Ἠρξάμην· "Κυρία μου, τὴν ἐμὴν χρείαν
30 „Καλῶς γινώσκεις, ὅ, τι τ' αὐτῇ συμφέρει."
Ἡ δὲ πρὸς ἐμέ· "Φόβον αἰδώ τε θέλω
„Παντάπασί σε τὸ λοιπὸν ἀποθέσθαι,
„Ὥστε μὴ λαλεῖν ὡς ὀνειρώττοντά σε.
„Ἴσθι τὸ σκεῦος, ὃ κατέστρεψεν ὄφις,
35 „Ἦν κοὐκ ἔστιν, ἀλλ' ὃς ἦν αἴτιος γνώτω

,,Τὴν θείαν δίκην ζωμοὺς οὐ φοβουμένην.
,,Ὁ δ' αἐτὸς ἄκληρος οὐκ ἔσται πάντα
,,Χρόνον, ὁ καταλιπὼν πτίλ' ἐν ἁμάξῃ,
,,Καὐτὴν ποιήσας τέρας κἄπειτα λείαν.
40 ,,Ἐνορῶ γὰρ ἐναργῶς καὶ προμηνύω
,,Καιρὸν οἴσοντας ἐγγὺς ἀστέρας ἤδη
,,Ἀσφαλῆ παντὸς κωλύματος, καθ' ὅνπερ
,,Εἷς τις πεντακόσια δέκα καὶ πέντε
,,Σταλεὶς θεόθεν τὴν φυγάδα φονεύσει,
45 ,,Τὸν γίγαντά θ', ὃς αὐτῇ συναμαρτάνει.
,,Τάχ' ἴσως οὐμοὶ δυσκατάληπτοι λόγοι,
,,Ὡς Θέμιδος καὶ Σφιγγός, οὐ πείσουσί σε,
,,Τὴν νόησιν, ὡς οἱ κείνων, συννεφοῦντες.
,,Ταχὺ δὲ τἆργα γενήσεται Ναΐδες,
50 ,,Αἳ λύσουσι τὸ δεινὸν αἴνιγμα τοῦτο
,,Ἄνευ ζημίας σιτηρῶν καὶ ποιμνίων.
,,Σκέψαι· καί, καθὼς ἐῤῥέθησαν οἱ λόγοι
,,Ὑπ' ἐμοῦ, δεῖ σε λέγειν οὕτω τοῖς ζῶσι
,,Ζωὴν εἰς ὁδὸν ἄγουσαν τοῦ θανάτου.
55 ,,Μέμνησο δ', ὅταν αὐτοὺς ἐν δέλτοις γράψῃς,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

,,Ἀποκρύψασθαι μηδὲν ὧν εἶδες δένδρῳ
,,Τῷ διαρπαγέντι δὶς ἐκεῖ συμβάντων.
,,Ὁ διαρπάζων εἶτ' ἀπορρίζῶν τοῦτο
,,Αὐτόχρημα βλασφημῶν Θεῷ προσκρούει,
60 ,,Ὃς ἡγίασ' αὔτ' εἰς αὐτοῦ μόνου χρῆσιν.
,,Ἡ δακοῦσ' αὐτὸ πρώτη ψυχὴ πεντάκις
,,Χίλι' ἔτη καὶ πλέον πάσχουσ' ἐπόθει
Τὸν τιμωρήσαντ' ἐν ἑαυτῷ τὸ δῆγμα.
,,Ὑπνώττεις τὸν νοῦν, ἐὰν μὴ σαφῶς κρίνῃς
65 ,,Δι' ὃν εἰδικὸν λόγον ἐστὶ τὸ δένδρον
,,Τόσον ὑψηλόν, τὴν κορυφήν τ' εὐρύνον.
,,Εἰ μὴ δ' ὕδατα τῆς Ἕλσης οἱ σοὶ κοῦφοι
,,Ἦσαν λογισμοὶ κυκλόθι τῶν φρενῶν σου,
,,Ἡ τέρψις τ' αὐτῶν Πύραμός τις τῷ μόρῳ,
70 ,,Σὺ διὰ τόσων περιστάσεων μόνον
,,Τὴν θεόθεν ἂν ἀπαγόρευσιν ἔγνως
,,Ὡς δικαίαν ἠθικῶς οὖσαν τοῦ δένδρου.
,,Ἀλλ' ὡς βλέπω σε τὴν διάνοιαν ὄντα
,,Λίθινον, μελανθέντα τ' ἐν ἁμαρτίαις,
75 ,,Ὥστ' ἐκθαμβεῖ σ' ἡ λάμψις τῶν ἐμῶν λόγων,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

„Βούλομ' ἵν', εἰ μὴ γραπτούς, ἐν γοῦν εἰκόνι
„Αὐτοὺς ἐν τῷ νῷ πρὸς ἀνάμνησιν φέρῃς,
„Ὡς προσκυνηταὶ σκῆπτρον βαϊοφόρον."
Κἀγώ· "Καθάπερ κηρὸς τὸν τῆς σφραγίδος
80 „Ἀμετάβλητον ἐκμιμούμενος τύπον,
„Οὐγκέφαλός μου κεχάρακται σοῖς λόγοις.
„Ἀλλὰ τί τόσον ὑπὲρ τὴν νόησίν μου
„Ἵπταται τό σὸν ἐπιθυμητὸν λέγειν,
„Ὥσθ' ὅσον ποθῶ, τόσον ἀποτυγχάνω;"—
85 "Ὅπως γνῷς," εἶπε, "τὴν σχολὴν κείνην, ἧς περ
„Ἧς ὀπαδός, ἴδῃς τε, πόσον αἱ δόξαι
„Δύναντ' αὐτῆς ἕπεσθαι τοῖς ἐμοῖς λόγοις,
„Καὶ γνῷς τὴν ὑμετέραν ὁδὸν τῆς θείας
„Ἀπέχειν τόσον, ὅσον μᾶλλον ἀπέχει
90 „Τῆς γῆς οὐρανός, ὃς ὑψίτερον σπέρχει."
Ὅθεν πρὸς αὐτήν· "Οὐ μέμνημ'," ἀπεκρίθην,
"'Απὸ σοῦ ποτ' ἔμ' ἀπαλλοτριωθῆναι,
„Οὐδ' αἰσθάνομαι συνειδήσεως τύψιν."—
"Εἰ δὲ σύγ' οὐ δύνασαι τούτου μεμνῆσθαι,"
95 Μειδιῶσ' ὑπέλαβε, "λόγισαι μέντοι,

„Ὅτι Λήθης ὑδάτων ἔπιες ἄρτι.
„Ὡς δ' ἀπὸ καπνοῦ πῦρ τεκμαίρεται πᾶς τις,
„Λησμοσύνη τοιαύτη σαφῶς δεικνύει
„Τὴν σὴν θέλησιν ἀλλαχοῦ πλανηθεῖσαν.
„Ἀληθῶς γυμνοὶ τοὐντεῦθεν οὐμοὶ λόγοι
„Ἔσοντ', ἐφ ὅσον αὐτοὺς δόξει μοι πρέπον
„Τοῖς σοῖς σκαιοῖς ὄμμασιν ἀποκαλύψαι."
Βήμασι βραδυτέροις, καὶ μᾶλλον λάμπων
Ἦν ἐπὶ μεσημβρινὸν ἥλιος κύκλον,
Ὃς ὁρίζοντι παντὶ συναλλοιοῦται,
Ὅτ' ἐπέστησαν, ὅπως ἐφίσταταί τις,
Οἷα πρόδρομος, φάλαγγι συνοδεύων,
Ἦν καινῷ τινι καθ' ὁδὸν συναντήσῃ,
Ἑπτὰ κεῖναι γυναῖκες ἐν σκιᾶς ἄκρᾳ
Δνοφερᾶς, οἵαν ὑπὸ φύλλα καὶ κλάδους
Ἐπὶ ψυχρῶν πέμπουσιν Ἄλπεις ῥυάκων.
Ἔμπροσθ' αὐτῶν Εὐφράτην Τίγριν τ' ἐδόκουν
Βλέπειν ἐκ μιᾶς πηγῆς ἐξερχομένους,
Ὡς φιλους τε βραδέως χωριζομένους.
"Ὦ φῶς, ὦ δόξα τοῦ τῶν ἀνθρώπων γένους,

„Τί τόδ' ἔσθ' ὕδωρ, ὅπερ ἐνταῦθ' ἐκρέει
„Ἐκ μιᾶς ἀρχῆς κἀν αὐτῷ διαιρεῖται;"
Πρὸς τὴν δέησιν τήνδ' ἐῤῥέθη μοι· "Δέου
„Ματίλδης ἐρούσης σοι·" κᾆτ' ἀπεκρίθη,
120 Ὥς τις περὶ πταίσματος ἀπολογεῖται,
Ἡ κάλλιμος Δέσποινα· "Ταῦτά τε κἆλλα
„Αὐτῷ παρ' ἐμοῦ γ' ἐῤῥέθη, σαφῶς τ' οἶδα,
„Ὡς οὐκ ἐκρυψεν αὐτῷ τὸ Λήθης ὕδωρ."
Ἡ δὲ Βεάτριξ· "Μείζων τις φροντὶς ἴσως,
125 „Ἔστιν ὅτε τῆς μνήμης ἀποστεροῦσα,
„Ἐσκότισ' αὐτοῦ τὰς νοητικὰς ὄψεις.
„Ἀλλὰ βλέπ' ἐκεῖ ῥέουσαν τὴν Εὐνόην·
„Αὐτὸν ἄγε πρὸς αὐτήν, ὡς εἴθισταί σοι,
„Τὰς ναρκωθείσας τ' ἀναζώου δυνάμεις."
130 Ὡς ψυχή τις χαρίεσσ' ἀπροφασίστως
Ἑαυτῆς ποιεῖ τὴν θέλησιν τῶν ἄλλων,
Ἅμ' ἀποδηλωθεῖσαν αὐτῇ σημείῳ,
Οὕτω μ' ἑλοῦσα χειρὸς ἔσπευσ' εἰς τοὔργον
Ἡ κάλλιμος Δέσποινα, καὶ τῷ Στατίῳ
135 Γυναικιστὶ προσεῖπεν· "Ἐλθὲ σὺν τούτῳ."

Εἰ μή μ' ὁ χῶρος ἐπέλειπ', ἀναγνῶστα,
Τοῦ γράφειν, πάντως ᾔδον ἂν ἐπὶ μέρους
Τὸ γλυκύ νᾶμ', οὗ κόρος οὔποτ' ἂν ἦν μοι·
Ἀλλ' ἐπεὶ πᾶσαι πλήρεις εἰσὶν αἱ δέλτοι
140 Αἱ τῆς ἐμῆς δευτέρας τῆσδ' ὑμνῳδίας,
Πόῤῥω χωρεῖν οὔ μ' ἐᾷ χαλινὸς τέχνης.
Ἐκ τῶν πανάγνων ἐπανῆλθον ὑδάτων
Ἀναμεμορφωμένος, ὡς φυτὰ νέα
Νεαροῖς φυλλώμασιν ἀνανεοῦται,
145 Ἁγνὸς ἑτοῖμός τ' ἀναβῆν' ἐπὶ τἆστρα.

ΤΕΛΟΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΣΗΜΕΙΩΣΕΙΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΣΗΜΕΙΩΣΕΙΣ.

Εἰς Ὠδὴν Α'.

11. *Αἱ ἐννέα θυγατέρες τοῦ Πιέρου, βασιλέως τῆς ἐν Μακεδονίᾳ Πέλλης, ἐρίσασαι ταῖς Μούσαις περὶ τῆς ἐν τῷ ᾄδειν ὑπεροχῆς καὶ ἡττηθεῖσαι, μετεμορφώθησαν εἰς κίσσας.—Ὀβιδ. Μεταμ. Ε'*, 300.

19. *Ὁ πλανήτης Ἀφροδίτη, ἀνατέλλων πρό τοῦ ἡλίου ὄντος ἐν τῷ Κριῷ καὶ ἀποσβεννύντος τοὺς ἀστέρας τοῦ τῶν Ἰχθύων ζῳδίου, ὅ προηγεῖται τοῦ Κριοῦ.*

23. *Οἱ τέσσαρες ἀστέρες σύμβολά εἰσι κατ' ἀλληγορίαν τῶν τεσσάρων ἠθικῶν ἀρετῶν, Συνέσεως, Δικαιοσύνης, Καρτερίας καὶ Ἐγκρατείας (Καθαρτ. ΛΑ'*, 106). *Πρῶτος ὁ Ἀμέρικος Οὐεσπούκης, ἐν τῷ κατὰ τὸ* 1501 *ἔτος τρίτῳ διάπλῳ ὑπέλαβεν, ὅτι οἱ στίχοι οὗτοι τοῦ Ποιητοῦ παριστᾶσι τοὺς τέσσαρας ἀστέρας τοῦ Νοτίου Σταυροῦ. Τινὲς δὲ τῶν ἑρμηνευτῶν διατείνονται, ὅτι ὁ Δάντης, καίτοι ἐν τοῖς καθ' αὐτὸν χρόνοις ἀγνώστου ὄντος τοῖς ἀστρονόμοις τοῦ ἀστερισμοῦ τοῦ Νοτίου Σταυροῦ, ἤκουσεν ἴσως περὶ τούτου παρὰ τοῦ φίλου αὐτοῦ Μάρκου Πόλου, διαπλεύσαντος εἰς τὰς νήσους Ἰάβαν καὶ Μαγαδάσκαρα (παρὰ Πτολεμαίῳ Ἰαβάδιον καὶ Μενουθιάδα). Ὁ δὲ Ἀρτάλδος* (Artaud) *λόγον ποιεῖται σφαίρας κατασκευασθείσης ὑπὸ ἄραβος κατὰ τὸ* 622 *ἔτος τῆς Ἐγείρας*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

(1225 πρὸ Χριστοῦ), ἐν ᾗ ὁ Νότιος Σταυρὸς ἦν ἀκριβῶς σεσημειωμένος. Ἀλλ' εἰ γνωστὸς ἐγένετο ὁ ἀστεριομὸς οὗτος τῷ Μάρκῳ Πόλῳ, ὡς περιπλεύσαντι τὰς νήσους Ἰάβαν καὶ Μαγαδάσκαρα, οὐκ ἂν εἴη ἄπο πιθανότητος ὅτι γνωστὸς ἦν καὶ τῷ Πτολεμαίῳ, μνείαν ποιησαμένῳ τῶν αὐτῶν νήσων· ἡ δὲ τοῦ ἄραβος σφαῖρα, περὶ ἧς γράφει ὁ Ἀρτάλδος, ὁμοία τις ἂν εἴη τῇ Πτολεμαϊκῇ. Ἀλλ' εἰκασίαι ταῦτα πάντα· οἱ δὲ τέσσαρες ἀστέρες τοῦ Δάντου τεθείσθων μᾶλλον ἐν μέρει ἀλληγορικῆς τοῦ Ποιητοῦ ἐπινοίας.

24. Οἱ ἀστέρες οὗτοι, καθὰ ὑποτίθεται ὁ Ποιητής, ἐθεάθησαν ὑπὸ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας ὄντων ἐν τῷ Ἐπιγείῳ Παραδείσῳ, κειμένῳ ἐπὶ τῆς κορυφῆς τοῦ Καθαρτηρίου ὄρους.

31. Κάτωνα τὸν Ἰτύκης, ὃν ἔθετο ὁ Ποιητὴς φρουρὸν τῶν προπόδων τοῦ Καθαρτηρίου ὄρους, ὡς τύπον τῆς ἐλευθερίας ἢ τῆς ἐλευθέρας θελήσεως· ἀπένειμε δὲ αὐτῷ τὴν ἀξίαν ταύτην κατὰ μίμησίν πως τοῦ Βιργιλίου, ὃς ἐν τῇ περιγραφῇ τῆς ἀσπίδος τοῦ Αἰνείου παρίστησιν αὐτὸν διδόντα δίκας τοῖς εὐσεβέσι :

Secretosque pios, his dantem jura Catonem.

Αἰν. Η', 670.

34. Ὁ Κάτων ἀπὸ τῆς πρώτης ἐκρήξεως τῶν ἐμφυλίων πολέμων ἐπαύσατο ξυρᾶν τὸν πώγωνα καὶ φιλόκοσμος εἶναι περὶ τὴν κόμην (Λουκαν. Φαρσ. Β', 396).

58. Τὴν ἐσχάτην ἑσπέραν, τοῦτ' ἔστι τὸν θάνατον.

78. *Συζύγῳ τοῦ Κάτωνος, μνημονευομένῃ μεταξὺ τῶν ἐν τοῖς Προαυλίοις τοῦ Ἅδου ψυχῶν.—Ἅδ. Δ΄*, 128.

79. *Ἡ Μαρκία τῇ συναινέσει τοῦ πατρὸς Φιλίππου παρεχωρήθη ὑπὸ τοῦ Κάτωνος τῷ φίλῳ αὐτοῦ Κοΐντῳ Ὀρτησίῳ. Μετὰ δὲ τὸν θάνατον τούτου ἐνδοὺς ταῖς παρακλήσεσιν αὐτῆς παρέλαβε πάλιν ὁ Κάτων χηρεύουσαν. Ὅρα Πλούταρ. ἐν βίῳ Κάτωνος τοῦ Νεωτέρου Κεφ. ΚΕ΄ καὶ ΝΒ΄.*

95. *Ὁ σχοῖνος σύμβολόν ἐστι ταπεινότητος.*

133. *Ὡς ἔδοξ' ἄλλῳ* (si come altrui piacque). *τῇ αὐτῇ φράσει ἐχρήσατο ὁ Ποιητὴς ἐν Ἅδ. ΚΣΤ΄*, 14· *ἀλλ' ἐνταῦθα ἐννοεῖ, ὡς ἔδοξε Κάτωνι.*

135. *Μίμησις Βιργιλίου ἀποδόντος τὴν αὐτὴν ἰδιότητα τοῖς ὑπὸ τοῦ Αἰνείου ἀποσπωμένοις χρυσοῖς κλάδοις:*

. . . . . Primo avulso, non deficit alter.

Αἰν. ΣΤ΄, 143.

Εἰς Ὠδὴν Β΄.

3. *Τοῦ Ποιητοῦ ὄντος ἐν τῷ Καθαρτηρίῳ, ὅπερ ὑποτίθεται κείμενον εἰς τοὺς ἀντίποδας τῆς Ἱερουσαλήμ, ἕπεται ὅτι ἡ νὺξ ἄρχεται ἐν Ἱερουσαλὴμ καθ' ὃν χρόνον ὁ ἥλιος ἀνατέλλει ἐν τῷ Καθαρτηρίῳ.*

6. *Τὸ ζῴδιον τῶν Ζυγῶν γίνεται ἀφανές, ἐφ' ὅσον αὐξάνουσιν αἱ νύκτες μετὰ τὰς θερινὰς τοῦ ἡλίου τροπάς. ὥστε εἴποι τις ἄν, ὅτι κατὰ τὸ διάστημα τοῦτο πίπτει ἐκ τῆς χειρὸς τῆς νυκτός.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

16. *Εἴθ' ἴδοιμ αὐτὸ πάλιν. τοῦτ' ἔστι μετὰ τὸν θάνατον.*

46. *Ἀρχὴ τοῦ πρώτου ἐδαφίου τοῦ ριγ' ψαλμοῦ.*

"Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου."

57. *Τοῦ Κριοῦ ὑπερβάντος τὸν ὁρίζοντα, ὁ Αἰγόκερως, ἀπέχων αὐτοῦ ἐνενήκοντα βαθμούς, κατέλιπε τὸν μεσημβρινόν.*

80. *Μίμησις Βιργιλίου:*

"Ter conatus ibi collo dare brachia circum;
,, Ter frustra comprensa manus effugit imago,
,, Par levibus ventis, volucrique simillima somno."
Αἰν. Β', 792-794.

Εὐγένιος ὁ Βούλγαρις μετέφρασε τὸ χωρίον τοῦτο οὕτωσί:

"Τρὶς μὲν ἐφορμήθην δειρὴν ἔο ἀμφιπλακῆναι·
,, Τρὶς δέ μοι ὁρμήσαντι, χεροῖν ἄπο εἴκελον ἔπτη,
,, Κουφοτέρου ἀνέμοιο δέμας, πτηνοῖό τ' ὀνείρου."

Ἀλλὰ πρὸ τοῦ Βιργιλίου ὁ Αἰσχύλος ἐξέφρασε τὴν αὐτὴν ἰδέαν ὡς ἐφεξῆς:

"Μάταν γάρ, εὖτ' ἂν ἐσθλά τις δοκῶν ὁρᾷν,
παραλλάξασα διὰ χερῶν,
βέβακεν ὄψις οὐ μεθύστερον
πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις."
Ἀγαμ. 422, κφξ.

91. *Κασέλλας, μουσικὸς Φλωρεντῖνος, ἐπιστήθιος φιλος τοῦ Δάντου.*

105. *Ἄγνωστός ἐστιν ἡ ἀκριβὴς ἐποχὴ τοῦ θανάτου τοῦ Κασέλλα· ἀλλ' ἐνομίζετο ὅτι ἦν ἀποθανὼν πρό τινος*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

χρόνου· διὸ ὁ Δάντης θαυμάζει εὑρίσκων αὐτὸν ἄρτι ἐλθόντα εἰς τὸ Καθαρτήριον. Τοῦτο ἐξηγεῖ ἡ ἀπόκρισις τοῦ Κασέλλα εἰπόντος, ὅτι δικαίως ὁ ἄγγελος ἐβράδυνε κατὰ πρῶτον τὴν διάβασιν αὐτοῦ, ἀλλ' ὅτι μετασχόντα ἔπειτα τῆς χάριτος τοῦ Ἰωβηλαίου τοῦ κανονισθέντος πρὸ τριῶν μηνῶν, δηλαδὴ κατὰ τὴν πρώτην ἡμέραν τοῦ ἔτους 1300, μετεβίβασεν αὐτόν, ὡς καὶ ἀπαξαπάσας τὰς ψυχὰς τὰς μὴ αἰωνίως καταδεδικασμένας, ἀπὸ τοῦ λιμένος τοῦ ἀπόπλου εἰς τὸ στόμιον τοῦ Θύμβριδος.

112. "Amor che nella mente mi ragiona·", πρῶτος στίχος ᾄσματός τινος τοῦ Δάντου, σωζομένου ἐν τῷ συγγράμματι αὐτοῦ τῷ καλουμένῳ Convito (Συμποσίῳ).

110. Ὁ Κάτων.

Εἰς Ὠδὴν Γ'.

7–10. Ὁ Βιργίλιος ἐδόκει ἔχειν ἔλεγχον συνειδότος, ὡς αἰσχυνόμενος ἐπὶ τῇ ταχείᾳ καὶ ἀκόσμῳ τῶν ποδῶν κινήσει. Ὁ Ἀριστοτέλης φησίν, ἐν Φυσιογνωμικοῖς Κεφ. Γ', "Ἀναιδοῦς σημεῖα· ἐν ταῖς κινήσεσιν ὀξύς. Κοσμίου σημεῖα· ἐν ταῖς κινήσεσι βραδύς."

21. Ὁ Δάντης ὁρῶν μόνην τὴν ἑαυτοῦ σκιὰν ὑπέλαβεν, ὅτι ἐγκατελείφθη ὑπὸ τοῦ Βιργιλίου, οὗ τὸ φάντασμα οὐκ ἠδύνατο ἐπιπροσθεῖν τὰς ἡλιακὰς ἀκτῖνας καὶ παρέχειν σκιάν.

27. Ὁ Βιργίλιος ἀπέθανεν ἐν Βρεντεσίῳ, ἀλλ' ἐτάφη ἐν Νεαπόλει.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

30. *Κατὰ τὴν ἐν τοῖς χρόνοις τοῦ Δάντου ἐπικρατοῦσαν φιλοσοφίαν, οἱ οὐρανοὶ ἐνομίζοντο εἶναι τοσαῦται διαφανεῖς κεναὶ σφαῖραι, κείμεναι ἡ μία ἐντὸς τῆς ἄλλης.*

31. *Κατὰ τὸν Δάντην, αἱ ψυχαὶ ἢ ἄϋλα ἰνδάλματα τῶν ἀποθανόντων, καίτοι μὴ ἐπιπροσθοῦντα τὰς ἀκτῖνας τοῦ φωτός, αἰσθάνονται ὅμως βασάνων, θάλπους καὶ ψύχους, ὡς τὰ σώματα τῶν ζώντων.*

49. *Ἐρίκον καὶ Τρόπαια, παρὰ τῷ Ποιητῇ* Lerici *καὶ* Turbia, *χωρία κείμενα ἐν τοῖς ὁρίοις τῆς πρώην Δημοκρατίας Γενόας.*

113. *Κωνσταντία, σύζυγος τοῦ Αὐτοκράτορος Ἑῥῥίκου τοῦ ΣΤ', καὶ μήτηρ Φρεδερίκου τοῦ Β', πατρὸς Μαμφρέδου.*

115. *Ἡ θυγάτηρ αὕτη τοῦ Μαμφρέδου, Κωνσταντία τοὔνομα, ἣν σύζυγος Πέτρου τοῦ Γ', βασιλέως Ἀῥῥαγωνίας, καὶ μήτηρ Φρεδερίκου, βασιλέως Σικελίας, καὶ Ἰακώβου, βασιλέως Ἀῥῥαγωνίας.*

121. *Ὁ Μαμφρέδης κατηγορήθη ὡς φονεὺς τοῦ τε πατρὸς αὐτοῦ καὶ τοῦ ἀδελφοῦ Κοῤῥάδου, καὶ ὡς ἐπιχειρήσας ἀνελεῖν φαρμάκῳ τὸν ἀνεψιὸν Κοῤῥαδῖνον. ἕνεκα δὲ τῶν πράξεων τούτων ἀφωρίσθη ὑπὸ τοῦ Πάπα.*

126. *Τὴν θείαν δέλτον, δηλαδὴ τὸ χωρίον τῶν ἱερῶν Γραφῶν τὸ ὑπισχνούμενον ἄφεσιν ἁμαρτιῶν τοῖς μετανοοῦσι.*

131. *Λεῖρις ποταμός, παρὰ μὲν τῷ Ποιητῇ* Verde, *κοινῶς δὲ παρ' Ἰταλοῖς καλούμενος* Garigliano. *Ἐχώ-*

ριζε τῆς Καμπανίας τὸ βασίλειον Νεαπόλεως, οὗπερ ἦν τὸ μάλα ἐπιβατὸν ὅριον ἀπὸ μέρους τοῦ Βενευέντου.

132. Κατὰ τὴν ἐν Βενευέντῳ μάχην ὁ Μαμφρέδης ὥρμησεν ἐπὶ τοὺς ἐχθροὺς ἐν τῇ ἀκμῇ τῆς συμπλοκῆς, ἔνθα καὶ ἐφονεύθη. Μετὰ τρεῖς ἡμέρας ἀνευρέθη τὸ σῶμα αὐτοῦ, καὶ κατὰ διαταγὴν Καρόλου τοῦ Ἀνδεγαυέων ἔτυχε στρατιωτικῶν τιμῶν, ταφεὶς ὑπὸ πελώριον χῶμα ἐκ λίθων· ἀλλ' ἔπειτα ἐξώσθη ἐκεῖθεν ὑπὸ τοῦ ἐπισκόπου Κωνσεντίας, ὡς ὢν ὑπὸ ἐπιτίμιον ἀφορισμοῦ, καὶ μετηνέχθη ἐκτὸς τῆς Νεαπόλεως, ὑπὲρ ἧς ἦν μαχόμενος.

Εἰς Ὠδὴν Δ'.

6. Δυσνόητόν ἐστὶ τὸ χωρίον τοῦτο, καὶ δεῖται διασαφήσεων· ἀλλ' ἀρκείτωσαν αἱ ἑξῆς:

Τὸ δόγμα τῆς ἐν τῷ ἀνθρώπῳ συνυπάρξεως δύο ψυχῶν, τῆς μὲν λογικῆς, τῆς δὲ αἰσθητικῆς, κατεδικάσθη ὑπὸ τῆς ὀγδόης Οἰκουμενικῆς Συνόδου, τῆς συγκροτηθείσης ἐν Κωνσταντινουπόλει τῷ 869.

Κατὰ τὸν Δάντην, εἰ ἦσαν δύο τοιοῦτοι νόες ἢ ψυχαί, ὁ μὲν ἠδύνατο σημειοῦν τὸν χρόνον, ὁ δ' ἕτερος ἠσχολεῖτο ἂν περὶ τὰς ἐξωτερικὰς αἰσθήσεις. Ἀλλ' οὐδεμία αἴσθησις (παραδείγματος χάριν, ἡ τῆς ἀκοῆς) δύναται ἐκτιμῆσαι τὴν παρέλευσιν τοῦ χρόνου· τοῦτο γὰρ ἀπαιτεῖ τὴν χρῆσιν τοῦ λογισμοῦ· ὁ δὲ λογισμὸς κατέχεται σύμπας ὑπὸ τοῦ νοὸς αὐτοῦ τούτου· διό, ὅταν ὁ νοῦς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

προσέχῃ ὅλος πρὸς ἐνεργοῦσάν τινα αἴσθησιν, οὐκ ἔξεστιν αὐτῷ κρῖναι περὶ τῆς παρελεύσεως τοῦ χρόνου.

25. *Σάνλεον, παρὰ τῷ Ποιητῇ* Sanleo, *πόλις ἐν Ῥωμανίᾳ, κειμένη ἐπὶ ὄρους κρημνώδους καὶ μεμονωμένου, ἧς ἀγνοεῖται τὸ ἀρχαῖον ὄνομα. Οὐ μετέβαλον δὲ ἐν τῇ λέξει ταύτῃ τὸ ν τὸ πρὸ τοῦ λ εἰς λ κατὰ τοὺς κανόνας τῆς ἑλληνικῆς εὐφωνίας, ὡς παντάπασι ξενικῇ, τοσούτῳ μᾶλλον, καθ' ὅσον ἐστὶ σύνθετος κατὰ συγκοπὴν ἐκ δύο λέξεων* Santo *καὶ* Leone. *εὕρηται δὲ καὶ παρ' ἕλλησιν ἐξαίρεσίς τις ἐν τοιαύταις συνθέτοις λέξεσιν, ὡς ἐν τῇ λέξει πάνλευκος, ἀντὶ πάλλευκος.*

Ναῦλος, παρὰ τῷ Ποιητῇ Noli, *πόλις ἐπὶ τῶν προπόδων ἀκροτόμου ὄρους παρὰ τὰς ἀκτὰς Γενόας.*

26. *Βισμάντουα, παρὰ τῷ Ποιητῇ* Bismantova, *ὄρος ὑψηλότατον ἐν τῇ χώρᾳ Ῥηγιόυ* (Reggio) *ἐν Λαγκοβαρδίᾳ, προσιτὸν μόνον διὰ στενῆς πολυστρόφου ὁδοῦ.*

57. *Ὁ Δάντης ἀτενίζων πρὸς ἀνατολάς, ἐθαύμαζε βλέπων τὸν ἥλιον πέμποντα τὰς ἀκτῖνας ἐξ ἀριστερῶν, ἐν ᾧ, κάτοικος ὢν τοῦ βορείου ἡμισφαιρίου, εἴωθε βλέπειν αὐτὸν διφρηλατοῦντα μεταξὺ αὐτοῦ καὶ τοῦ Νότου.*

61. *Κάστωρ καὶ Πολυδεύκης, τοῦτ' ἔστιν ὁ τοῦ Ζῳδιακοῦ ἀστερισμὸς Δίδυμοι.*

62. *Τῷ λαμπρῷ κατόπτρῳ κείνῳ, δηλαδὴ τῷ ἡλίῳ.*

63. *Ἄνω καὶ κάτω, δηλαδὴ ἐνταῦθα μὲν ἐκ Βορρᾶ, ἐν τῷ ἀντιθέτῳ δὲ ἡμισφαιρίῳ ἐκ Νότου.*

123. *Βελάκουας* (Belacqua), *Φλωρεντῖνος, φίλος τοῦ Δάντου, ἦν κατασκευαστὴς μουσικῶν ὀργάνων.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

123-124. *Τοὐντεῦθεν οὐκ ἄχθομαί σοι, ὡς ὄντι, δηλαδή, ἐν τῇ ὁδῷ τῆς σωτηρίας·*

139. *Ὁ Ποιητής, κατὰ τὰς ἐν τῷ μεσαιῶνι γεωγραφικὰς γνώσεις, ὑποτίθεται τὴν Μαυρουσίαν* (Marocco) *ὡς τὴν ἐσχάτην δύσιν ἢ χώραν ἀπέχουσαν τῆς Ἱερουσαλὴμ πρὸς δυσμὰς ἐνενήκοντα βαθμούς, τὸν δὲ Γάγγην ὡς τὴν ἐσχάτην ἀνατολήν. Ὅθεν ἐξάγεται ὅτι, οὔσης μεσημβρίας ἐν τῷ Καθαρτηρίῳ, ἐν Μαυρουσίᾳ ὑπῆρχεν ἕκτη ὥρα πρὸ μεσημβρίας, ὅτε ἄρχεται ἡ νὺξ ἐπὶ τῆς ἰσημερίας.*

Εἰς Ὠδὴν Ε'.

37. *Οὕτω δὲ καὶ Βιργίλιος:*

"Saepe etiam stellas, vento impendente, videbis
,, Praecipites coelo labi noctisque per umbram
,, Flammarum longos a tergo albescere tractus."

Γεωργ. Α', 365–367.

κατὰ μίμησιν Ἀράτου:

"Καὶ διὰ νύκτα μέλαιναν ὅτ' ἀστέρες ἀΐσσωσι
,, Ταρφέα, τοὶ δ' ὄπισθεν ῥυμοὶ ὑπολευκαίνωνται.

Στίχ. 926–927.

Εὐγένιος δὲ ὁ Βούλγαρις, ἑπόμενος τῇ πρωτοτύπῳ φράσει τοῦ Ἀράτου, μετέφρασε τοὺς ἀνωτέρω στίχους τοῦ Βιργιλίου οὕτωσί:

"Ταρφέα κινυμένου δ' ἀνέμοιο, ἐπόψεαι αἴφνης,
,, Καὶ διὰ νύκτα μέλαιναν, ἅτ' ἀστέρας ἀΐσσοντας,
,, Ῥυμοὶ τοὶ δὲ ὄπισθ' ὑπολευκαίνοιντο σέλασσιν."

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

64. *Οὗτος ἦν Ἰάκωβος ὁ Κασσέρου* (Jacobo del Cassero), *πολίτης Φάνου ἐν Ἀγκῶνι, κειμένου, κατὰ τὴν τοῦ Ποιητοῦ περιγραφήν, μεταξὺ Ῥωμανίας καὶ τῶν ὁρίων Νεαπόλεως, ἧς ἦν βασιλεὺς Καρολος ὁ Β', υἱὸς Καρόλου Ἀνδεγαυέων. Ὑπῆρξε δήμαρχος Βονωνίας· μεταβαίνων δὲ ἀπὸ Φάνου εἰς Μεδιόλανον διὰ Ἐνετίας καὶ Παδούας, ὅπως ἀναλάβῃ ἐκεῖ τὴν αὐτὴν ἀξίαν, ἐφονεύθη καθ' ὁδὸν πλησίον Ὀριάκου ἐν τῇ χώρᾳ Παδούας (ἧς κτίστης, ὡς φημίζεται, ἦν ὁ Ἀντήνωρ) ὑπὸ κατασκόπων Ἄζου* (Azzo) *Ἔστης τοῦ Γ', οὗ διετέλει ἐχθρὸς ἐν Βονωνίᾳ.*

79. *Μίρα, πολύχνιον ἐπὶ τῆς ὁδοῦ τῆς ἀγούσης ἀπὸ Ὀριάκου εἰς Πάδουαν· εἰ δ' ἔμενεν ἐκεῖ μὴ παρεκτρεπόμενος εἰς τελματώδεις τόπους, ἠδύνατο σωθῆναι ἀποφεύγων τὴν ἐπιβουλήν.*

88. *Βογκόντης* (Buonconte), *υἱὸς Γουΐδου ἐκ Μόντος-Φέλτρου* (Guido da Montefeltro) *καὶ ἀνὴρ Ἰωάννας, ἔπεσεν ἐν τῇ μάχῃ Καμπαλίνου* (1289), *συγκροτηθείσῃ πλησίον Βιβιέννης* (Bibbiena) *ἐν Κασεντίνῳ, κοιλάδι τοῦ Ἄρνου, ὑπεράνω Ῥηγίου. Τὸ δὲ σῶμα αὐτοῦ οὐδέποτε ἀνευρέθη.*

95. *Ἀρχιανός, ῥεῖθρον ὀρεινόν, πίπτον εἰς τὸν Ἄρνον πλησίον Βιβιένης, πηγάζον ἐν Ἀπεννίνοις ὑπεράνω τοῦ Ἀσκητηρίου, παρὰ τῷ Ποιητῇ* Ermo (Hermitage), *ἀρχαίου Μοναστηρίου τοῦ Τάγματος τῶν Καμαλδολιτῶν.*

116. *Πρατομάγνον* (*νῦν* Prato Vecchio), *ὄρος ἐν Τουσκίᾳ, ἐπὶ τῶν κορυφῶν τῶν Ἀπεννίνων ἐν Κασεντίνῳ.*

133. *Πία, Σηναία, σύζυγος πρῶτον ἑνὸς τῶν Πτολεμαίων* (Tolemei)· *χηρεύσασα δὲ ἐνυμφεύθη τῷ* Nello della Pietra· *ἀλλ' ἔπειτα ἐφονεύθη, κρημνισθεῖσα ἀπὸ τῆς θυρίδος πύργου τῇ διαταγῇ τοῦ δευτέρου αὐτῆς ἀνδρός, βουλομένου συνάψαι γάμον ἑτέρᾳ γυναικί.*

Εἰς Ὠδὴν ΣΤ΄.

9. *Κατά τι ἔθος, ὁ κερδαίνων ἐν τῷ παιγνίῳ τῶν κύβων ἐδίδου χρήματα τοῖς παρεστῶσιν.*

13. *Οὗτος ἦν Βενεκάσας* (Benecasa) *ἐξ Ἀῤῥητίου, νομικός, ὅς, δικάζων ὡς δήμαρχος ἐν Σήνῃ, κατεδίκασεν εἰς θάνατον ἐπὶ κλοπῇ τὸν ἀδελφὸν καὶ τὸν ἀνεψιὸν Γίνου τοῦ Τάκκου* (Ghino di Tacca), *ἀνήκοντος εἰς ἔντιμον οἰκογένειαν, ἀλλ' ὄντος καὶ αὐτοῦ διαβοήτου λῃστοῦ. Ὁ Βενεκάσας, φοβούμενος τὴν ἐκδίκησιν, κατέφυγεν εἰς Ῥώμην, ἔνθα ἀνεδείχθη Λογιστὴς* (Auditor) *τοῦ Πάπα· ἀλλ' ὁ Γῖνος ἐνεδρεύσας ἐφόνευσεν αὐτὸν ἐπὶ τῆς δικαστικῆς ἕδρας ἐν πλήρει ἀκροατηρίῳ.*

15. *Οὗτος ἦν Κιώνης Ταρλάτων* (Cione di Tarlati), *ἐξ Ἀῤῥητίου, ὃς παρεσύρη ὑπὸ τοῦ ἵππου ἐν τῷ Ἄρνῳ καὶ ἐπνίγη, ὅτε ἦν διώκων τινὰ τῆς Βοστόλων* (Bostoli) *οἰκογενείας, πρὸς ἣν ἐχθρικῶς διέκειτο.*

17. *Νοβέλλος* (Novello), *υἱὸς τοῦ Κόμητος Γουΐδου τοῦ ἐκ Βαττιφόλλων* (Guido da Battifolle), *φονευθεὶς ὑπό τινος τῶν Βοστόλων τῷ* 1291.

Ὁ Πισαῖος οὗτος ἦν Φαρινάτης τῶν Σκοριγγιανῶν

(Farinata degli Scoringiani), *υἱὸς Μαρζούκου* (Marzucco), *ὅς, φονευθέντος τοῦ υἱοῦ κατὰ διαταγὴν τοῦ Κόμητος Οὐγολίνου, ἔτυχε δι' ὑπομονῆς καὶ ἐπιμονῆς τῆς ἀδείας τοῦ θάψαι τὸ σῶμα αὐτοῦ.*

18. *Κόμης Ὄρσος, υἱὸς Ναπολέοντος τοῦ ἐκ Κερταίας* (Napoleone da Certaia), *θανατωθεὶς ὑπὸ τοῦ θείου αὐτοῦ Ἀλβέρτου τοῦ ἐκ Μαγγῶνος* (Alberto da Mangone).

22. *Πέτρος Βροκκίας* (Pietro della Broccia *ἢ* Pierre de la Brosse), *εὐνοούμενος θαλαμηπόλος Φιλίππου τοῦ Τολμηροῦ, Βασιλέως Γαλλίας. Ἐκρεμάσθη τῷ* 1278 *διὰ πρᾶξιν μείνασαν ἄγνωστον, ἀλλ' ὑπαγορευθεῖσαν, ὡς ὑποτίθεται, ὑπὸ τῆς βασιλίσσης Μαρίας Βραβαντίας.*

30. "Desine fata Deûm flecti sperare precando."

Βιργ. Αἰν. ΣΤ', 376.

"Λῆγε Θεῶν Μοίρας γναπτὰς ἡγεῖσθ' ἱκετείαις."

Μετάφρ. Εὐγενίου Βουλγάρεως.

74. *Σορδέλλος τῶν Βισκόντων* (Sordello dei Visconti), *ἐκ Μαντύας, ἦν γενναῖος ἱππότης καὶ ποιητὴς ἐν Προβιγκιανῇ διαλέκτῳ τῆς ιγ' ἑκατονταετηρίδος. Ἦν ἐραστὴς Κουνίσσης* (Cunizza), *θυγατρὸς τοῦ τυράννου Ἐζελίνου, ἥν, ὡς λέγεται, ἐθανάτωσεν.*

88. *Ὁ Αὐτοκράτωρ, ὃς μετερρύθμισε τὸ Ῥωμαϊκὸν Δίκαιον.*

93. *"Ἀπόδοτε τὰ τοῦ Καίσαρος Καίσαρι," κφξ.*

97. *Ἀλβέρτος ὁ Αὐστρίας, υἱὸς Ῥουδόλφου τοῦ Ἀψβούργου, ἀνηγορεύθη Αὐτοκράτωρ τῷ* 1298· *ἀλλ' οὐδέποτε*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἐπεσκέψατο τὴν Ἰταλίαν. Ἐφονεύθη τῷ 1308 ὑπὸ τοῦ ἀνεψιοῦ αὐτοῦ· ἔσχε δὲ διάδοχον Ἐρρίκον τὸν Λουξεμβούργου, ἀφ' οὗ μεγάλα προσεδόκων οἱ Γιβελῖνοι.

105. Ὁ τοῦ Κράτους Κῆπος, δηλαδὴ ἡ Ἰταλία.

107. Οἰκογένειαι Γιβελῖναι Βηρώνης καὶ Οὐρβιβέντου (Orvietto, Herbanum).

111. Σαγκταφλῶρα (Santafior), ἐν Μαρέμμῃ τῆς Σήνης, ἣν χωρίον ἰδιόκτητον καὶ ἀσυντελὲς τοῦ Αὐτοκράτορος, ἀναφερόμενον ἐνταῦθα εἰρωνικῶς, ὡς στερούμενον διοικήσεως.

125. Ὑπαινίττεται πιθανῶς ὁ Ποιητὴς τὸν Μ. Μαρκέλλον, ἕνα τῶν κορυφαίων τῆς ἀριστοκρατικῆς μερίδος τῆς ἀντιπολιτευομένης Ἰουλίῳ Καίσαρι.

134. Κατὰ Πλάτωνα, οἱ ἀγαθοὶ πολῖται οὐκ ἐπιδιώκουσιν ὡς ἐπὶ τὸ πλεῖστον τάς ἀρχάς. "Κινδυνεύει πόλις ἀνδρῶν ἀγαθῶν εἰ γένοιτο, περιμάχητον ἂν εἶναι τὸ μὴ ἄρχειν, ὥσπερ νῦν τὸ ἄρχειν." Πολιτ. Α', ζ', 521, Α.

Εἰς Ὠδὴν Ζ'.

35. Αἱ τρεῖς Θεολογικαὶ ἀρεταί, Πίστις, Ἐλπὶς καὶ Ἀγάπη. Αἱ δὲ ἄλλαι εἰσὶν αἱ τέσσαρες Ἠθικαὶ ἀρεταί.

75. Ξύλον Ἰνδικὸν ὁ ἔβενος, δένδρον φυόμενον ἐν Ἰνδικῇ. Τινὲς τῶν ἑρμηνευτῶν διατείνονται, ὅ τι ὁ Ποιητὴς ἐννοεῖ τὸ Ἰνδικόν (indigo), οὐσίαν χρωματικὴν ἐξαγομένην ἐκ τῶν φύλλων καὶ στελεχῶν θάμνου τινὸς τῶν Ἰνδιῶν· ἀλλ' ἐν τοιαύτῃ ὑποθέσει ἔδει τὸν Ποιητὴν εἰπεῖν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Indica pianta—*Ἰνδικὸν φυτόν—ἤ τι τοιοῦτον, οὐχὶ δὲ* Indico legno—*Ἰνδικὸν ξύλον.*

82. *Αἱ πρῶται λέξεις ὕμνου τινὸς τῆς Ῥωμαϊκῆς Ἐκκλησίας εἰς τὴν Ἀειπάρθενον, οἷος ὁ παρ' ἡμῖν:*

"*Χαίροις Ἀνασσα, μητροπάρθενον κλέος.*"

100. *Ὀττόκαρος, βασιλεὺς Βοημίας, ἔπεσεν ἐν τῇ κατὰ τοῦ Αὐτοκράτορος Ῥουδόλφου μάχῃ τῷ* 1278. *Ὁ υἱὸς αὐτοῦ Βεγκέσλας ὁ Δ' ἦν γαμβρὸς τοῦ Ῥουδόλφου· ἀπέθανε τῷ* 1305.

103. *Οὗτος ἦν Φίλιππος ὁ Τολμηρός, βασιλεὺς τῆς Γαλλίας, διάσημος διὰ τὴν μικρὰν αὐτοῦ ῥῖνα, πατὴρ Φιλίππου τοῦ Καλοῦ. Ἀπέθανε τῷ* 1285 *ἐν Περπινιανῷ* (Perpignan) *ἐπὶ τῆς ἐκ Καταλαυνίας ὑποχωρήσεως μετὰ τὴν καταστρεπτικὴν ἔκβασιν τοῦ πρὸς Πέτρον τὸν Γ', Ἀῤῥαγωνίας, πολέμου. Συνομιλεῖ δὲ Ἐῤῥίκῳ τῷ Ναυάῤῥας, πατρὶ Ἰωάννας, συζύγου Φιλίππου τοῦ Καλοῦ, ἀποκαλουμένου ὀλετῆρος τῆς Γαλλίας.*

112. *Οὗτός ἐστι Πέτρος ὁ Γ', βασιλεὺς Ἀῤῥαγωνίας, ἀναβὰς εἰς τὸν θρόνον τῆς Σικελίας μετὰ τὸν Σικελικὸν Ἑσπερινόν· ἀπέθανε τῷ* 1285.

113. *Ἡ ἀνδρικὴ ῥὶς ὑποδείκνυσι Κάρολον Ἀνδεγαυέων, Βασιλέα Νεαπόλεως.*

114. *Ἡ ἔκφρασις αὕτη τοῦ Ποιητοῦ ἔοικεν εἶναι μίμησις τῆς τοῦ Ἠσαΐου:* "*Καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ.*" *ΙΑ'*, 5.

116. *Οὗτός ἐστιν Ἀλφόνσος, πρεσβύτερος υἱὸς Πέτρου*

τοῦ Γ', ὃν διεδέχθη ἀποθανόντα ἐν Ἀῤῥαγωνίᾳ, ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἰάκωβος ἐν Σικελίᾳ.

119. *Μετὰ τὸν θάνατον τοῦ Ἀλφόνσου, ὁ Ἰάκωβος ἔλαβε τὴν Ἀῤῥαγωνίαν, ὁ δὲ ἀδελφὸς τούτου Φρεδερίκος διεδέχθη αὐτὸν ἐν Σικελίᾳ.*

124. *Κάρολος ὁ Ἀνδεγαυέων, οὗπερ ὁ υἱὸς Κάρολος ὁ Β', Νεαπόλεως, ἐνομίζετο ὑπὸ τῶν ἐν Ἀπουλίᾳ καὶ Προβιγκίᾳ ὑπηκόων ὡς ἀνάξιος αὐτοῦ, ὥσπερ ἦσαν ἀνάξιοι Πέτρου τοῦ Γ' ὁ Ἰάκωβος καὶ Φρεδερίκος. Οἱ τρεῖς δὲ οὗτοι σημαίνονται ὑπὸ τὸ ὄνομα τῶν γυναικῶν αὐτῶν, τῆς μνήμης τοῦ Πέτρου οὔσης προτιμοτέρας τῆς τῶν υἱῶν.*

131. *Ἐῤῥίκος ὁ Γ', πατὴρ Ἐδουάρδου τοῦ Α'.*

134. *Γουλιέλμος, Μαρκίων Μομφεῤῥάτου, εἰς ὃν ἀνῆκε τὸ Καπινίτιον, παρὰ τῷ Ποιητῇ* Cavanese· *ἐφυλακίσθη ὑπὸ τῶν κατοίκων Ἀλεξανδρείας· ἀπέθανὲ δὲ τῷ* 1292.

Εἰς Ὠδὴν Η'.

1. *Δηλαδή, ἑσπέρα ἦν.*

7. *Ὅτε αἱ ψυχαὶ ἔπαυσαν ᾄδουσαι· "Χαῖρε Βασιλίς."*

13. *Ἀρχὴ τοῦ ὕμνου τοῦ ἱεροῦ Ἀμβροσίου*

"Te lucis ante terminum,
,, Rerum Creator, optime," *κφξ,*
" *Σὲ πρὸ τοῦ φωτὸς τέλους,*
,, *Τῶν ὄντων ποιητά, κράτιστε,*" *κφξ,*

ψαλλομένου παρὰ τοῖς Καθολικοῖς πρὸ τῆς ἀπολύσεως

τοῦ Ἑσπερινοῦ, ὡς παρ' ἡμῖν ἡ ἐπιλύχνιος εὐχαριστία, "Φῶς ἱλαρὸν ἁγίας δόξης" κφξ.

28. Τὸ πράσινον χρῶμα ἦν τὸ τῆς ἐλπίδος. Ὅρα ἀνωτέρω Ὠδ. Γ', 135: "Mentre che la speranza ha fior del verde."

53. Νῖνος τῶν Βισκόντων ἐκ Πίσης, Κριτὴς ἢ Διοικητὴς Γαλλούρας ἐν Σαρδοῖ, καὶ ἀντίζηλος Οὐγολίνου ἐν Πίσῃ. Τῷ 1300 ἡ χήρα αὐτοῦ Βεάτριξ Ἔστης (ἐξ ἧς ἔσχε θυγατέρα Ἰωάνναν τοὔνομα) ἐνυμφεύθη Γαλεάζῳ τῶν Βισκόντων (Galeazzo dei Visconti) ἐκ Μεδιολάνου, πολλῷ ἑαυτῆς νεωτέρῳ.

57. Τὸ Καθαρτήριον ὑποτίθεται κεῖσθαι ἐν μέσῳ ἀχανοῦς θαλάσσης καλυπτούσης τὸ νότιον ἡμισφαίριον.

74 Αἱ λευκαὶ καλύπτραι ἀπετέλουν μέρος τοῦ ἱματισμοῦ τῶν χηρῶν γυναικῶν.

80. Ἡ ἔχιδνα ἦν ἐμβληματικὸν παράσημον τῶν Βισκόντων, κυρίων Μεδιολάνου, ὡς ὁ Ἀλέκτωρ τῆς Γαλλούρας.

89. Σύμβολα τῶν τριῶν Θεολογικῶν ἀρετῶν: Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης.

112. Εἴθε ἡ λαμπὰς κφξ· δηλαδή, εἴθε ἡ φωτίζουσα θεία χάρις.

113. Τοσοῦτον κηρόν, δηλαδὴ τοσαύτην σύμπραξιν τῆς σῆς θελήσεως.

118. Κορράδος Μαλασπίνας (Conrado Malaspina) ἐξ Αὐλῶνος Μάκρας (Valdimagra), Μαρκίων Λουνιγιανῆς (Lunigiana) καὶ σύγγονος τοῦ Μαρκέλλου ἢ Μοροέλλου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Μαλασπίνου, ἀνεψιοῦ τοῦ ἐκ Μάκρας ἀτμοῦ τοῦ αὐτοῦ ὀνόματος (*Ἀδ. ΚΔ'*, 145), *καὶ παρ' ᾧ ὁ Ποιητὴς εὗρε φιλόξενον καταφύγιον τῷ* 1307. *Ὁ Κορράδος ἀπέθανε τῷ* 1294· *εἶχε δὲ προγόνους τοῦ αὐτοῦ ὀνόματος ἐν τῇ ΙΑ' καὶ ΙΓ' ἑκατονταετηρίδι, Τούτου μνεία γίνεται ἐν Δεχημέρῳ Β'*, 6.

Εἰς Ὠδὴν Θ'.

1. *Κατά τινας τῶν ἑρμηνευτῶν, ὁ Ποιητὴς ἐννοεῖ τὴν ἠῶ τῆς Σελήνης, ἤτοι τὸ φῶς τὸ πρὸ τῆς ἀνατολῆς τῆς Σελήνης, ἣν ἀποκαλεῖ συνευνέτιν* (concubina) *ἤτοι παλλακίδα τοῦ Τιθωνοῦ, οὗ σύζυγός ἐστιν ἡ ἀληθὴς Ἠώς, ἡ προηγουμένη τοῦ Ἡλίου.*

5. *Ὁ Ποιητὴς ὑπαινίττεται τὸν ἀστερισμὸν Σκορπίου.*

7. *Βήματα τῆς νυκτός εἰσιν αἱ ὧραι· ὥστε, ἐπειδὴ ἡ νὺξ ἤρξατο τὴν ἕκτην μετὰ μεσημβρίαν, ἦν ἤδη σχεδὸν ἑνάτη ὥρα, ὅτε καθύπνωσεν ὁ Δάντης· ὡς δὲ φαίνεται κατωτέρω, ὁ ὄνειρος ἐπῆλθε περὶ πρωΐαν, καὶ ὁ Ποιητὴς ἐξηγέρθη τοῦ ὕπνου δύο ὥρας μετὰ τὴν ἀνατολὴν τοῦ ἡλίου.*

12. *Ὁ Δάντης, ὁ Βιργίλιος, ὁ Σορδέλλος, ὁ Νῖνος καὶ ὁ Κορράδος.*

15. *Ὁ Ποιητὴς ὑπαινίττεται τὸ μυθολογικὸν δρᾶμα Πρόκνης καὶ Φιλομήλας, θυγατέρων Πανδίονος, τυράννου Ἀττικῆς. Σχολιασταί τινες καὶ μεταφρασταὶ τῆς θείας Κωμῳδίας, ἑπόμενοι τῷ Βιργιλίῳ καὶ Ὀβιδίῳ καὶ ἄλλοις*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

παρὰ Λατίνοις ποιηταῖς, λέγουσι, παρὰ τὴν τῶν Ἑλλήνων ποιητῶν καὶ συγγραφέων γνώμην, ὅτι Πρόκνη ἦν ἡ μεταμορφωθεῖσα εἰς χελιδόνα, Φιλομήλα δὲ ἡ εἰς ἀηδόνα. Πρὸς διασάφησιν τῆς διαφορᾶς ταύτης ἐπιτραπήτω μοι ἡ ἑξῆς παρέκβασις. Οἵ τε ἕλληνες καὶ οἱ λατῖνοι ποιηταὶ συμφωνοῦσιν, ὅτι τῶν θυγατέρων τούτων τοῦ Πανδίονος τὴν μὲν ἔσχε γυναῖκα Τηρεὺς ὁ Θρᾷξ, τὴν δὲ αὐτὸς οὗτος, ἐν τῷ ἐπανήκειν μετ' αὐτῆς ἐξ Ἀττικῆς εἰς Θράκην, ἐβιάσατο καθ' ὁδόν, καὶ ἀπέκοψεν αὐτῆς τὴν γλῶσσαν, ἵνα μὴ δυνηθῇ ἐξαγγεῖλαι τὸ πάθος τῇ γυναικί· τῆς δὲ διασημηνάσης τὸ γεγονὸς τῇ ἀδελφῇ ἐν ῥαφιδευτῷ ὑφάσματι, καὶ ταύτης πρὸς ἐκδίκησιν φονευσάσης τὸν ἴδιον παῖδα καὶ παραθείσης εἰς βρῶσιν τῷ ἀνδρί, οὗτος ἐδίωκε τὰς δύο ἀδελφάς, ὡς ἀποκτενῶν· αἱ δὲ φεύγουσαι μετεβλήθησαν ὑπὸ τῶν θεῶν, ἡ μὲν τοῦ Τηρέως γυνὴ εἰς ἀηδόνα, ἡ δὲ ἀποτμηθεῖσα τὴν γλῶσσαν εἰς χελιδόνα. Καὶ εἰς ταῦτα μὲν συμφωνοῦσιν ἕλληνές τε καὶ λατῖνοι ποιηταί· ἀλλ' ἀπᾴδουσιν ἀπ' ἀλλήλων πρὸς τὸ ὄνομα ἑκατέρας τῶν ἀδελφῶν, τῶν ἑλλήνων ἀποφαινομένων Πρόκνην εἶναι τὴν γυναῖκα Τηρέως, Φιλομήλαν δὲ τὴν ἑτέραν. Ὅτι δὲ ἡ τῶν ἀρχαίων ἑλλήνων γνώμη ἐστὶν ὀρθοτέρα, τοῦτο καταφανές· ἑλληνικὸς γάρ, ἢ μᾶλλον Ἀθηναϊκός, καὶ οὐ ῥωμαϊκὸς ὁ μῦθος. Ἀλλὰ καὶ Θουκυδίδης, γράφων περὶ τοῦ Τήρεω βασιλέως Θρᾳκῶν καὶ πατρὸς Σιτάλκου τοῦ συμμαχήσαντος Ἀθηναίοις, διαβεβαιοῦται τὸν Τήρην τοῦτον οὐδὲν προσήκειν τῷ Τηρεῖ, τῷ σχόντι γυναῖκα Πρόκνην τὴν Πανδίονος ἀπ' Ἀθηνῶν, τὴν κατὰ τοὺς ποιητὰς μεταβλη-

θεῖσαν εἰς ἀηδόνα (Β'. κθ'.). Πιθανὸν δὲ ὅτι οἱ λατῖνοι ποιηταί, σφαλλόμενοι περὶ τὴν γραφὴν τῆς λέξεως, ἀπένειμαν τῇ ἀηδόνι τὸ ὄνομα Φιλομήλα ὡς καταλληλότερον, ἅτε οὔσῃ φιλομελεῖ καὶ μελῳδικωτέρᾳ τῆς χελιδόνος. Ὁ δὲ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον παρεκβολαῖς (Ὀδυσ. Τ, 518) ἱστορῶν τὸν μῦθον τῶν Πανδιονίδων, λαθὼν ὑπέπεσεν εἰς ἀντίφασιν· ἀρχόμενος γὰρ τῆς διηγήσεως, ἀποφαίνεται τὴν μὲν Φιλομήλαν γαμηθῆναι τῷ Τηρεῖ, τοῦτον δὲ γλωσσοτομῆσαι τὴν ὑφ' αὐτοῦ φθαρεῖσαν ἀδελφὴν τῆς γυναικός· παρακατιὼν δέ φησι: "πτερύσσονται εἰς χελιδόνα μὲν ἡ Φιλομήλα, Πρόκνη δὲ „εἰς ἀηδόνα· διὸ τραχύφωνος μέν ἐστιν ἡ χελιδὼν καὶ „ἀηδὴς τὸ μέλος, οἷα κολουσθεῖσα τῆς γλώττης, καὶ „συχνὰ τὸν Τηρέα ὑποτραυλίζουσα κατὰ στόμα προφέρει, „ἀηδὼν δὲ τὸν Ἴτυν τοῦ μέλους προβάλλεται." Παρέδραμεν ἄρα τὸν σοφὸν καὶ ἔξοχον τοῦτον ὑπομνηματιστὴν τοῦ Ὁμήρου ὅτι ἡ κολουσθεῖσα τὴν γλῶσσαν οὐκ ἦν ἡ γυνὴ τοῦ Τηρέως.

112. Τὰ ἑπτὰ Π σύμβολά ἐστι τῶν ἑπτὰ κυρίων Πταισμάτων (Peccata), τῶν καθαριζομένων ἐν τοῖς ἑπτὰ κύκλοις τοῦ Καθαρτηρίου.

126. Κατά τινας τῶν ἑρμηνευτῶν, ἡ χρυσῆ κλεὶς παρίστησι τὴν δύναμιν τοῦ ἀνοίγειν, ἡ δὲ ἀργυρᾶ τὴν γνῶσιν τοῦ πρὸς ὃν δεῖ ἀνοίγειν.

138. Ὁ Δήμαρχος Μέτελλος, ὁ ἀντιστὰς Ἰουλίῳ τῷ Καίσαρι, ὅτε οὗτος πρὸς ἐπίτευξιν τοῦ ἱεροῦ θησαυροῦ τῆς Ῥώμης ἤνοιξε τὰς πύλας τοῦ ναοῦ τοῦ Κρόνου ἐπὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τῆς Ταρπηΐας πέτρας. Τὸ χωρίον τοῦτο ὑπηγορεύθη τῷ Ποιητῇ ὑπὸ τῶν ἑξῆς στίχων τοῦ Λουκανοῦ:

"Tunc rupes Tarpeia sonat, magnoque reclusas
,, Testatur stridore fores." *Φαρσ.* Γ', 155 *κφξ.*

Εἰς Ὠδὴν Ι'.

15. *Δηλαδὴ περὶ τὴν ια' ὥραν καὶ κ' λεπτὰ μετὰ τὸ μεσονύκτιον, τῆς σελήνης ἀνατειλάσης τὴν θ' μετὰ μεσημβρίαν τὴν προηγουμένην νύκτα.*

32. *Τοῦ περιφήμου ἕλληνος ἀγαλματοποιοῦ.*

34. *Ὁ Ἄγγελος Γαβριὴλ ἐν τῷ εὐαγγελισμῷ. Λουκᾶς Α'*, 26–38.

47. *Δηλαδή, ὁ Βιργίλιος ἵστατο ἐπὶ τὰ δεξιὰ τοῦ Δάντου.*

57. *Ὑπόμνησις τῆς θείας ὀργῆς κατὰ τοῦ Ὀζᾶ, ἐκτείναντος τὴν χεῖρα ἐπὶ τὴν Κιβωτὸν τοῦ Θεοῦ. Ἀνάγνωθι Βασιλ. Β', στ'. κφξ.*

75. *Κατ' ἀρχαῖόν τι θρησκευτικὸν διήγημα, ἡ ψυχὴ τοῦ Τραϊανοῦ ἐσώθη ἐκ τῶν βασάνων τοῦ Ἅδου διὰ τῶν δεήσεων τοῦ Ἁγίου Γρηγορίου, μεσιτεύσαντος ὑπὲρ αὐτοῦ χάριν τῶν ἀγαθοεργιῶν καὶ τῶν ἀρετῶν τοῦ ἀνδρός. Ἡ δὲ ἱστορία τῆς χήρας ἐῤῥέθη κατὰ πρῶτον ὑπὸ Δίωνος Κασσίου περὶ Ἀδριανοῦ (Ῥωμαϊκ. Ἱστορ. ΞΘ', ιε', 6)· ἀλλ' ἐν τῷ μεσαιῶνι ἀπεδίδοτο κοινῶς εἰς Τραϊανόν. Ὁ Τραϊανὸς ἐτέθη ὑπὸ τοῦ ποιητοῦ ἐν τῷ Παραδείσῳ μετὰ τοῦ Δαυΐδ. Παραδ. Κ'*, 43.

80. *Κατὰ τοὺς χρόνους τοῦ Δάντου, ἐνομίζετο ὅτι οἱ Ῥωμαϊκοὶ Ἀετοὶ ἦσαν ζωγραφητοὶ ἐπὶ σημαιῶν. Τινὲς δὲ διατείνονται, ὅτι ἀπὸ Αὐγούστου ἄχρι Κωνσταντίνου ὁ Ῥωμαϊκὸς Ἀετὸς ἦν μέλας ἐπὶ χρυσοῦ ἐδάφους.*

94. *Ὁ Θεός, ᾧ οὐδὲν καινόν, ὡς γινώσκοντι πάντα, τά τε παρελθόντα καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα.*

99. *Τοῦ Καλλιτέχνου, δηλαδὴ τοῦ Θεοῦ.*

102. *Τοῦτ' ἔστιν, εἰς τοὺς ἀνωτέρους κύκλους τοῦ Καθαρτηρίου, ὄντας ὡς βαθμίδες τετμημέναι πέριξ τοῦ ὄρους.*

125. *Ἡ ψύχη, ἔντομον* (papilio), *ἣν παρὰ τοῖς ἀρχαίοις, ὡς ἔτι καὶ νῦν, σύμβολον τῆς ἀνθρωπίνης ψυχῆς.*

Εἰς Ὠδὴν ΙΑ'.

1. *Οὐ περιωρισμένος ἐν οὐρανῷ, ὡς πανταχοῦ παρών, ἀλλὰ κατοικῶν ἐκεῖ ἐξαιρέτως ἕνεκα στοργῆς πρὸς τοὺς Ἀγγέλους, τὰ πρῶτα αὐτοῦ δημιουργήματα.*

38. *Οἶκτος, δηλαδὴ αἱ δεήσεις τῶν οἴκτῳ ὑπὲρ ὑμῶν εὐχομένων.*

45. *Δηλαδή, "τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής."*

63. *Τὴν κοινὴν μητέρα, δηλαδὴ τὴν γῆν, ἐξ ἧς ἐσμέν, καὶ εἰς ἣν ἀπελευσόμεθα.*

67. *Οὐμβέρτος* (Omberto), *Κόμης Σάγκτας Φλώρας ἐν Τουσκίᾳ, ἀνήκων εἰς ὑπερήφανον καὶ ἰσχύουσαν οἰκογένειαν. Ἐθανατώθη ὑπὸ τῶν Σηναίων ἐν Καμπανατίκῳ* (Campagnatico).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

79. *Ὀδερίσης ἐξ Ἰγουΐου* (Gubbio) *ἐν Οὐρβίνῳ, εἰκονογράφος βιβλίων* (*παρ' Ἰταλοῖς* Miniatore)· *μνημονεύεται εὐφήμως ὑπὸ Βασάρη ἐν τῷ βίῳ Γιώτου.*

83. *Φράγκος Βονωνός, πιθανῶς εἷς τῶν φοιτητῶν Ὀδερίσου, γνωστὸς διὰ τὰ ἔργα αὐτοῦ, ὡς ζωγράφου καὶ εἰκονογράφου χειρογράφων. Ἡ ἐν Βονωνίᾳ εἰκὼν αὐτοῦ τῆς Παναγίας φέρει χρονολογίαν* 1313.

94. *Κιμαβούης* (Cimabue) *ἐγεννήθη ἐν Φλωρεντίᾳ τῷ* 1240, *ἀπέθανεν οὐ πολλῷ ὕστερον τοῦ* 1300.

95. *Γιῶτος, ὁ μέγας μαθητὴς τοῦ Κιμαβούη καὶ φίλος τοῦ Δάντου. Ἐγεννήθη τῷ* 1276, *ἀπέθανε τῷ* 1336.

97. *Ὑπαινίττεται ὁ Ποιητὴς πιθανῶς ἐνταῦθα τὸν φίλον αὐτοῦ Γουΐδον Καυαλκάντην* (*μνημονευθέντα ἤδη, Ἀδ. Ι,* 60), *καὶ τὸν ἐκ Βονωνίας ἀρχαιότερον ποιητὴν Γουΐδον Γουϊνικέλλην* (Guinicelli), *οὗ γενήσεται πάλιν μνεία* (*Καθαρτ. ΚΣΤ΄*, 93).

108. *Βραδυτάτην περιφορὰν τῶν ἄστρων ἐννοεῖ ὁ Ποιητὴς τὴν τῶν ἀπλανῶν, ἥτις, κατὰ τὸν Πτολεμαῖον, συμπληροῦται ἐν τριάκοντα ἓξ χιλιάδων ἔτεσιν.*

116. *Ὁ δὲ μαραίνων κφξ, δηλαδὴ ὁ ἥλιος.*

138. *Βίγνας* (Vigna) *τις ἐλήφθη αἰχμάλωτος ἐν τῇ μάχῃ τῶν Τιλεκοσίων, καὶ ἐκρατεῖτο ὑπὸ Καρόλου Ἀνδεγαυέων ἀπαιτοῦντος λύτρα δέκα χιλιάδων στατήρων* (*χρυσῶν φλωρίων*)· *ὁ δὲ Προβιζάνος παρέστη ἐν τῇ δημοσίᾳ ἀγορᾷ Σήνης, καὶ ἱκέτευεν ὡς ἐπαίτης, ἕως οὗ διὰ συνεισφορῶν ἐδυνήθη ἐλευθερῶσαι τὸν φίλον αὐτοῦ τῆς εἱρκτῆς.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

141. *Πρόῤῥησις ὅτι ὁ Δάντης ἐν τῇ ἐξορίᾳ γνώσεται ὅσον σκληρόν ἐστι τὸ ἐπαιτεῖν.*

142. *Δηλαδή, ἡ πρᾶξις αὕτη τοῦ Προβιζάνου ἀπήλλαξεν αὐτὸν τῶν φραγμῶν τῶν κωλυόντων τὴν εἰς τὸ Καθαρτήριον εἴσοδον.*

Εἰς Ὠδὴν ΙΒ'.

1. *Ἡ ἐκ βοῶν ὑπὸ ζυγὸν παραβολὴ μίμησίς τις ἐστὶν εἰκόνος Ὁμηρικῆς. Ἰλιάδ. Ν, 702 κφξ.*

25. *Τὸν Ἑωσφόρον, Ἡσ. ΙΔ', 12. Λουκᾶς Γ, 18.*

31. *Θυμβραῖος ὁ Ἀπόλλων, οὕτω καλούμενος ἀπὸ τοῦ ἐν Θύμβρᾳ τῆς Τρωάδος ναοῦ.*

40. *Βασ. Α', λα', 4-5.*

42. *Κατὰ συνέπειαν κατάρας τοῦ Δαυὶδ ἐπὶ τῷ θανάτῳ τοῦ Σαούλ. "Ὄρη τὰ ἐν Γελβοέ, μὴ καταβάτω δρόσος καὶ μὴ ὑετὸς ἐφ' ὑμᾶς, καὶ ἀγροὶ ἀπαρχῶν, ὅτι ἐκεῖ προσωχθίσθη θυρεὸς δυνατῶν· θυρεὸς Σαοὺλ οὐκ ἐχρίσθη ἐν ἐλαίῳ." Βασ. Β', α', 21.*

48. *Βασ. Γ', ιβ', 18.*

50. *Ἡ τοῦ Ἀλκμαίωνος μήτηρ Ἐριφύλη, ἐνδοῦσα ἐκ φιλοδοξίας τῷ τεχνάσματι τοῦ Πολυνείκους, καὶ λαβοῦσα παρ' αὐτοῦ ὡς δῶρον τὸν χρυσοῦν ὅρμον τῆς Ἁρμονίας, ὡμολόγησε τὸν τόπον, ἐν ᾧ ἐκρύπτετο ὁ ἀνὴρ αὐτῆς Ἀμφιάραος, ὃς ἠναγκάσθη τότε στρατεύεσθαι ἐπὶ Θήβας, ἔνθα ἐφονεύθη μαχόμενος. Τὴν δὲ Ἐριφύλην ἔκτεινεν ὁ υἱὸς αὐτῆς Ἀλκμαίων πρὸς ἐκδίκησιν τοῦ θανάτου τοῦ πατρός.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

53. *Βασ. Δ', ιθ', 37. Ἡσ. ΛΖ', 37–38.*

57. *Τόμυρις, Βασίλισσα Μασσαγετῶν, ἥτις ἔῤῥιψε τὴν κεφαλὴν τοῦ Κύρου ἐντὸς ἀγγείου πλήρους αἵματος ἀνθρωπίνου, λέγουσα· ἄπληστε αἵματος, Κῦρε· ἐγώ σε αἵματος κορέσω. Ἡροδότ. Α', σε', σιδ'.*

59. *Ὅρα Ἰουδίθ, ΙΓ'.*

80. *Τὰς ὥρας ὁ Ποιητὴς καλεῖ ἐνταῦθα δούλας τοῦ ἡλίου· ἐννοεῖ δέ, ὅτι παρῆλθεν ἤδη ἡ ἕκτη ὥρα ἀπ' ἀνατολῶν τοῦ ἡλίου ἐν τῇ ἰσημερίᾳ, δηλαδὴ ἡ μεσημβρία.*

101. *Ἡ ἐκκλησία τοῦ Ἁγίου Μηνιάτου.*

102. *Τὴν εὐνομουμένην πόλιν, εἰρωνικῶς τὴν Φλωρεντίαν.*

102. *Ῥουβακόντη, γέφυρα ἐν Φλωρεντίᾳ, οὕτω καλουμένη ἀπὸ τοῦ ὀνόματος τοῦ πρώτου Δημάρχου τοῦ ἔτους, ἐν ᾧ ἐκτίσθη* (1237). *Ἡ χρηστότης τοῦ καιροῦ ἐκείνου παραβάλλεται πρὸς τὴν μεταγενεστέραν διαφθορὰν τῆς Φλωρεντίας τῇ ὑπομνήσει δύο ἐσχάτων παραδειγμάτων· ὧν τὸ μὲν ἦν ἡ γενομένη ἀπαλοιφὴ ἐν ἀπογράφῳ μαρτυρίας δοθείσης ἐπὶ δικαστηρίου πρὸς ἐξαφάνισιν ἀποδείξεων ἀδίκου ἀποφάσεως, τὸ δὲ ἡ δολία ἐλάττωσις τοῦ μεγέθους τοῦ νομίμου μέτρου πρὸς ἴδιον κέρδος τῶν δημοσίων ὑπουργῶν.*

110. *Ματθαῖος, Ε', 3. Ἕκαστος τῶν Μακαρισμῶν τῆς ἐπὶ τοῦ ὄρους διδαχῆς τοῦ Χριστοῦ ἐπαναλαμβάνεται ἐν ἑκάστῳ κύκλῳ τοῦ Καθαρτηρίου.*

Εἰς Ὠδὴν ΙΓ'.

29. *Λόγοι τῆς μητρὸς τοῦ Ἰησοῦ ἐπὶ τοῦ ἐν Κανᾷ γάμου. Ἰωάννης, Β', 3. (Ἐπαρκεῖν ταῖς ἀνάγκαις τῶν ἄλλων).*

32. *Οἱ πρὸς τὸν Αἴγισθον λόγοι τοῦ Πυλάδου, ἐπιμένοντος θανεῖν ἀντὶ τοῦ Ὀρέστου (Κικέρ· περὶ φιλίας, ΚΔ'). (Διδόναι καὶ ζωὴν αὐτὴν ὑπὲρ τῶν ἄλλων).*

36. *Ματθαῖος Ε', 44 (Συγγινώσκειν τοῖς βλάψασι).*

94. *Πρὸς Ἑβρ. ΙΑ' 13· ΙΓ', 14. Ἐφεσ. Β', 19.*

109. *Εὐγενής τις Σηναία, ἥτις, οὖσα ἐξόριστος ἐν Κόλλει, ἐδεῖτο ὑπὲρ τῆς ἥττης τῶν πολιτῶν αὐτῆς ἐπὶ τῆς κατὰ τὸ* 1269 *μάχης (Καθαρτ. ΙΑ', 121).*

122. *Ἐν Λογγοβαρδίᾳ αἱ τρεῖς τελευταῖαι ἡμέραι τοῦ Ἰανουαρίου ἐκαλοῦντο* giorni della merla, *ἤτοι ἡμέραι τοῦ κοσσύφου, καὶ ὑποτίθεται ὅτι εἰσὶν ἰδίως ψυχραὶ πρὸς τιμωρίαν τοῦ κοσσύφου· διότι οὗτος, εὑρών ποτε τὸν καιρὸν μειλίχιον κατ' ἐκείνας τὰς ἡμέρας, ἐκαυχήθη ὅτι οὐκέτι φοβεῖται τὸν Ἰανουάριον.*

128. *Πέτρος Πεττιγνάνος, ἐρημίτης μεγάλης ὁσιότητος ἐκ Κάμπου ἐγγὺς Σήνης.*

146. *Ὁ Ποιητὴς διὰ τῶν λόγων τούτων ὑποδείκνυσιν, ὅτι ὑπέπεσε μᾶλλον εἰς τὸ πταῖσμα τῆς ὑπερηφανείας ἢ τὸ τοῦ φθόνου·*

152. *Οἱ Σηναῖοι, περὶ ναυτικῆς καὶ ἐμπορικῆς δυνάμεως κενοφρόνως σπουδάζοντες, ἐπεχείρησαν ἐπὶ ματαίῳ*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ὅπως κτίσωσι λιμένα ἐν Τελαμῶνι, καὶ πολλοὶ ἀπώλοντο ἐκ τοῦ νοσώδους ἀέρος τοῦ τόπου. Κατηνάλωσαν δ' ἐπίσης μάτην πλεῖστα χρήματα πρὸς ἀνεύρεσιν ὑπογείου τινὸς ὑποτεθειμένου ῥείθρου ἢ φρέατος, καλουμένου Ἄρτεμις (Diana).

Εἰς Ὠδὴν ΙΔ'.

7. Ὁ Γουΐδος Δούκας ἐκ Βριτινορίου (Guido del Duca da Brettinoro) καὶ Ῥινιέρης Καλβόλων ἐκ Φόρου Λιβίου (Rinieri de' Calboli da Forli), ἀμφότεροι ἐκ Ῥωμανίας.

32. Τὰ Ἀπέννινα, ὧν ταῖς ἀκρωρείαις συνείχετό ποτε, ὡς ὑποτίθεται, ὁ Πύλωρος, ἀκρωτήριον Σικελίας παρακείμενον τῇ Ἰταλίᾳ, λέγεται ἔχειν ὑδάτων πλησμονὴν ἐν Φαλερίᾳ (Falterona), ἔνθα εἰσὶν αἱ πηγαὶ τοῦ τε Ἄρνου καὶ τοῦ Θύμβριδος.

43. Ὁ ῥοῦς τοῦ Ἄρνου περιγράφεται ὡς διερχόμενος πρῶτον διὰ τοῦ Κασεντίνου, πατρίδος τῶν ἡδυπαθῶν Κομήτων Γουΐδων (Ἅδ. Λ', 65), εἶτα στρεφόμενος ὀξυπόρως ἀπὸ τῶν κυναρίων Ἀῤῥητίου, κἀκεῖθεν διατρέχων τοὺς λύκους Φλωρεντίας καὶ ἐκχεόμενος εἰς τὴν θάλασσαν μετὰ τὸ διαβῆναι τὰς ἀλώπεκας Πίσης.

58. Τὸν Φουλκιέρην Καλβόλων (Fulcieri de' Calboli), ὃς ἦν πρῶτος ἄρχων Φλωρεντίας τῷ 1302, καὶ ἐδωροδοκήθη ὑπὸ τῶν Μελάνων, ἵνα καταστρέψῃ πολλοὺς τῆς Λευκῆς μερίδος.

59. *Ἐν ταῖς ὄχθαις τοῦ νηλεοῦς ποταμοῦ, δηλαδὴ ἐν Φλωρεντίᾳ.*

64. *Τοῦ λυπροῦ δάσους, δηλαδὴ τῆς Φλωρεντίας.*

87. *Ὅρα Καθαρτ.* ΙΕ', 45.

92. *Ὁρίων τῆς Ρωμανίας.*

102. *Ἐν ᾧ οἱ ἀρχαῖοι εὐγενεῖς τῆς Ῥωμανίας ἐξέλιπον ἢ ἀπηχρειώθησαν, ἄνθρωποι ταπεινοῦ γένους ἀνυψώθησαν ἀλλαχοῦ γενόμενοι ἐπιφανεῖς.*

133. *Οἱ λόγοι τοῦ Κάϊν Γενέσ. Δ'*, 14.

139. *Ἡ Ἄγραυλος, ζηλοτυποῦσα τὴν ἀδελφὴν Ἕρσην ἐπὶ τῷ Ἑρμῇ, μετεβλήθη ὑπὸ τοῦ θεοῦ εἰς λίθον.*

Εἰς Ὠδὴν ΙΕ'.

5. *Ἐν τῷ Καθαρτηρίῳ ὄρει ἔμενον τρεῖς ὧραι ἄχρι τῆς δύσεως τοῦ ἡλίου· ἐν δὲ Ἰταλίᾳ ἦν μεσονύκτιον, ὅπερ ἦν ἡ ἀνάλογος διαφορὰ μεταξὺ τῶν δύο θέσεων, τοῦ μὲν Καθαρτηρίου ὄντος εἰς τοὺς ἀντίποδας τῆς Ἱερουσαλήμ, τῆς δὲ Ἰταλίας οὔσης, κατὰ τὴν Γεωγραφίαν τῆς ἐποχῆς ἐκείνης, τεσσαράκοντα πέντε βαθμοὺς πρὸς δυσμὰς τῆς Παλαιστίνης.*

24. *Τὸ θεῖον φῶς ἀνταναακλᾶται ἐπὶ τοῦ Δάντου παρὰ τοῦ Ἀγγέλου· παραβάλλεται δὲ πρὸς τὴν τακτικὴν ἀνταυάκλασιν φωτός, ποιοῦσαν, ὡς πρὸς τὸ ἀνταυακλῶν σημεῖον, ἴσας γωνίας μετὰ τῆς καθέτου, παρισταμένης ὡς πίπτουσα πέτρα.*

45. *Καθαρτ. ΙΔ'*, 87.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

46. *Τῆς μεγίστης αὐτοῦ κακίας, δηλαδὴ τοῦ φθόνου.*

48. *Ἄλλοι, δηλαδὴ οἱ ἐν τῷ Καθαρτηρίῳ.*

92. *Λουκᾶς, Β'*, 48.

98. *Ὑπαινίττεται ὁ Ποιητὴς τὸ μεταξὺ Ἀθηνᾶς καὶ Ποσειδῶνος νεῖκος περὶ τοῦ ὀνόματος τῶν Ἀθηνῶν.*

105. *Ἡ τοῦ Πεισιστράτου ἐπιείκεια πρὸς τὸν νέον, ὃς ἠσπάσατο τὴν θυγατέρα αὐτοῦ δημοσίᾳ, μνημονεύεται παρὰ Βαλερίῳ Μαξίμῳ, Ε'*, 1.

107. *Τὸν πρωτομάρτυρα Στέφανον, Πράξ. Ἀποστ. Ζ'*, 54, *κφξ.*

115–117. *Δηλαδή, παυσάσης τῆς ὀπτασίας, καὶ τὸν νοῦν προσχὼν πρὸς τὴν ἀλήθειαν τῶν πραγμάτων, ἔγνων, ὅτι αἱ φανταστικαὶ ἐκεῖναι πλάναι οὐκ ἦσαν ψευδεῖς.*

Εἰς Ὠδὴν ΙΣΤ'.

19. *Ἰωάννης, Α'*, 29.

26. *Δηλαδή, ὥς τις ζῶν, οὐκ ἐν τῇ αἰωνιότητι, ἀλλ' ἐν τῷ προσκαίρῳ βίῳ, καὶ ποιούμενος διὰ τοῦτο χρῆσιν τοῦ κοινοῦ μέτρου τοῦ χρόνου.*

46. *Μάρκος Λογγοβάρδος* (Marco Lombardo), *εὐγενὴς Ἐνετὸς καὶ φίλος τοῦ Δάντου.*

57. *Δηλαδή, τῆς γνώμης τοῦ Γουΐδου Δούκα περὶ τῆς ἐπὶ τὸ χεῖρον ἐκπτώσεως τῶν ἀνθρώπων. Ὅρα Καθαρτ. ΙΔ'.*

99. *Λευϊτ. ΙΑ'*, 4. *Κατὰ μυστικὴν διερμήνευσιν, ὁ μηρυκισμὸς σημαίνει τὸ χρέος σπουδαίας μελέτης τοῦ*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

θείου λόγου, τὸ δὲ δίχηλον τῶν ὁπλῶν τὸ διακρίνειν τὸ ἀγαθὸν τοῦ κακοῦ, ἤτοι τὰς θείας θεσμοθεσίας τῶν ἀνθρωπίνων ἐπινοιῶν. Διὸ τῶν ἑρμηνευτῶν τινες ὑποτίθενται τὸν Ποιητὴν ἐννοεῖν, ὅτι ὁ Πάπας, κἂν ἀσχολῆται περὶ τὴν μελέτην τοῦ θείου λόγου, οὐ διακρίνει τὴν πνευματικὴν ἐξουσίαν τῆς κοσμικῆς.

114. Ποιά τις ἀπομίμησις τοῦ εὐαγγελικοῦ ῥητοῦ: "Ἐκ γὰρ τοῦ καρποῦ πᾶν δένδρον γινώσκεται" (Ματθαῖος, Β', 33)· ὥστε ἐδικαιούμην μεταφράσαι τὸν στίχον τοῦτον οὕτωσίν:

Ἐκ γὰρ τοῦ καρποῦ γινώσκεται πᾶν δένδρον.

Ἀλλ' ὁ Ποιητής, δεικνὺς τὸν στάχυν, ἔχει κατὰ νοῦν οὐ δένδρα καὶ φυτὰ ἐν γένει, ἀλλ' ἰδίως σπόριμα· διὸ ἐν τῇ μεταφράσει ἐχρησάμην ταῖς αὐταῖς τοῦ πρωτοτύπου λέξεσι καὶ ἰδίᾳ τῇ λέξει πόα, ἰσοδυναμούσῃ τῇ ἰταλικῇ erba· κατὰ γὰρ τὸν Θεόφραστον "πόα ἐστὶ τὸ ἀπὸ ῥίζης φυλλοφόρον προϊόν, ἀστέλεχες, οὗ ὁ καυλὸς σπερμοφόρος, οἷον ὁ σῖτος καὶ τὰ λάχανα." (Φυτ. Ἱστορ. Α', 3).

117. Ἡ Λογγοβαρδία ἐπὶ Αὐτοκράτορος Φρεδερίκου τοῦ Β' ἦν εὐδαίμων καὶ εὐτυχοῦσα ἄχρι τῶν ἐρίδων μεταξὺ Παπῶν καὶ Αὐτοκράτορος.

125. Γεράρδος Καμίνου (Gherardo da Cammino), κύριος Ταρβησίου (Trevigi). — Κορράδος Παλατίου (Currado da Palazzo), εὐπατρίδης Βριξίας.—Γουίδος Καστέλλου (Guido dal Castello), ἐκ Ῥηγίου. Οἱ Γάλλοι ἐκάλουν Λομβάρδους πάντας τοὺς Ἰταλούς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

131. *Δηλαδή, οὐ δεῖ τοὺς ἐκκλησιαστικοὺς οἰκειοποιεῖσθαι κοσμικὰ ὑπάρχοντα.*

132. *Δευτερ. ΙΗ', 1.*

140. *Διάσημος γυνὴ ἐν τοῖς καθ' αὑτὴν χρόνοις.*

Εἰς Ὠδὴν ΙΖ'.

3. *Διὰ δέρους ἀσπάλαξ* (per pelle talpe)· "*φαίνεται γὰρ καὶ ἡ ἀσπάλαξ ὑπὸ τὸ δέρμα ἔχουσα ὀφθαλμούς.* (*Ἀριστοτ. Περὶ Ψυχῆς Γ'.*)

19. *Δηλαδή, τῆς ἀηδόνος. Ὅρα σημ. Ὠδ. Θ', 15.*

27. *Τοῦ Ἀμάν. Ὅρα Ἐσθήρ, Ζ'.*

34. *Ἡ Λαυϊνία, πενθοῦσα τὴν μητέρα αὐτῆς Ἀμάτην, ἥτις ἐπεθύμει δοῦναι αὐτὴν εἰς γάμον τῷ Τύρνῳ καὶ ἐκρέμασεν ἑαυτὴν ἐπὶ τῇ ἀγγελίᾳ τοῦ ὑποτεθειμένου θανάτου τούτου. Μετὰ δὲ τὴν αὐτοχειρίαν τῆς μητρὸς ἐνυμφεύθη τῷ Αἰνείᾳ. Αἰν. Ζ' καὶ ΙΒ', 660.*

39. *Πρίν τινος ἄλλου, δηλαδὴ πρὶν ἢ ἐπῆλθεν ἀληθῶς ὁ ὄλεθρος τοῦ Τύρνου, φονευθέντος ὑπὸ τοῦ Αἰνείου μετὰ τὸν θάνατον τῆς Ἀμάτης.*

91. *Ἐν τούτῳ, ὡς ἐν ἄλλοις χωρίοις τῆς Δαντείου ἐποποιΐας, αἱ πλεῖσται τῶν γνωμῶν τοῦ Ποιητοῦ συνταυτίζονται ταῖς τῆς Σχολαστικῆς Φιλοσοφίας, οἷαι διδάσκονται ὑπὸ Θωμᾶ ἐξ Ἀκουΐνου. Τοῦτο δὲ κείσθω ὡς γενική τις ὑπομνημάτευσις τῶν τοιούτων γνωμῶν.*

97. *Πρὸς τὰ πρώτιστα ἀγαθά, δηλαδὴ τὰ ἀφορῶντα τὸ Θεῖον καὶ τὴν ἀρετήν· δεύτερα δὲ ἀγαθά ἐστι τὰ ἐπίγεια.*

120. *Ποθεῖ τοὐναντίον, δηλαδὴ τὴν ταπείνωσιν τῶν ἄλλων.*

136. *Τὰ τρία πταίσματα τῆς Ὑπερφανείας, τοῦ Φθόνου καὶ τῆς Ὀργῆς καθαρίζονται ἐν τοῖς τρισὶ κύκλοις τοῦ Καθαρτηρίου, τοῖς ὑπὸ τὸν τῆς Ῥαθυμίας ἢ Ἀκηδείας, ἐν ᾧ εὑρίσκεται νῦν ὁ Ποιητής. Ἡ δὲ Φιλαργυρία, Λαιμαργία καὶ Λαγνεία καθαρίζονται ἐν τοῖς ἀνωτέρω τρισὶν ἄλλοις κύκλοις.*

Εἰς Ὠδὴν ΙΗ'.

49. *Ἐν τῇ Σχολαστικῇ Φιλοσοφίᾳ, οὐσιῶδες σχῆμά ἐστι τὸ οὐσιωδῶς ποιοῦν τι εἶναι ὅ ἐστιν. Ἐνταῦθα ἡ ἀνθρώπινος ψυχὴ παρίσταται ὡς οὖσα οὐσία διάφορος τῆς ὕλης, ἀλλ' ἡνωμένη μετ' αὐτῆς, ἐν ᾧ αἱ ψυχαὶ τῶν ἀλόγων ζώων εἰσὶν ὑλικαί· οἱ δὲ Ἄγγελοί εἰσιν ὅλως ἄϋλοι.*

69. *Ὅρα Ἠθικ. Νικ. Γ', 5. "Ἐφ' ἡμῖν δὲ καὶ ἡ ἀρετή, ὁμοίως δὲ καὶ ἡ κακία."*

76. *Ἡ σελήνη, οὖσα νῦν ἐν τῇ πέμπτῃ νυκτὶ ἀπὸ τῆς διχομηνίας, ὁμοιάζει κάδῳ ὁρωμένῳ κατὰ προτομήν.*

79. *Κατ' οὐρανοῦ, δηλαδὴ ἀπὸ δυσμῶν πρὸς ἀνατολάς, διὰ τοῦ ἀστερισμοῦ Σκορπίου, ἔνθα κεῖται ὁ ἥλιος, ὅτε οἱ κάτοικοι τῆς Ῥώμης ὁρῶσιν αὐτὸν δύοντα μεταξὺ Σαρδοῦς καὶ Κύρνου.*

83. *Ἄνδεις, τὰ νῦν ὡς καὶ παρὰ τῷ Ποιητῇ* Pietola, *κώμη ἐγγὺς Μαντύας, ἔνθα ἐγεννήθη ὁ Βιργίλιος.*

84. *Δηλαδή, τὴν ἐνόχλησιν τῶν περὶ Ἔρωτος ἐρωτημάτων μου.*

91. *Ποταμοὶ Βοιωτίας.*

100. *Λουκᾶς, Α'*, 39–40.

102. *Ὁ Καῖσαρ κατὰ τὴν εἰς Ἱσπανίαν ἐκστρατείαν* (*Π. Χ.* 49) *ἀνέθετο τοῖς ὑποστρατήγοις τὴν χείρωσιν τῆς Μασσαλίας, ἣ προσέβαλεν ἤδη πολιορκῶν· αὐτὸς δὲ σπεύσας ὥρμησε κατὰ τῶν ἐν Ἰλέρδᾳ δυνάμεων τοῦ Πομπηΐου.*

118. *Οὗτος ἦν Ἀλβέρτος, ἡγούμενος τοῦ Ἁγίου Ζήνωνος, ἐπὶ Αὐτοκράτορος Φρεδερίκου Βαρβαρόσσα, τοῦ ἐκπορθήσαντος καὶ καταστρέψαντος τὸ Μεδιόλανον κατὰ τὸ* 1162.

121. *Οὗτος ἦν Ἀλβέρτος τῆς Σκάλας* (Alberto della Scala) *ἐκ Βηρώνης, ὃς ἀνέδειξε τὸν νόθον αὐτοῦ υἱὸν Ἰώσηπον ἡγούμενον τοῦ Ἁγίου Ζήνωνος κατὰ τὸ* 1292.

135. *Ἀριθμοί. ΚΣΤ'*, 62–63.

136–138. *Μετὰ τὴν ἐν Σικελίᾳ πυρπόλησιν μέρους τῶν νεῶν αὐτοῦ, ὁ Αἰνείας κατέλιπεν ἐκεῖ τοὺς ποθοῦντας ἀνάπαυσιν καὶ μὴ ἀκολουθήσαντας αὐτῷ εἰς Ἰταλίαν.*

"animos nil magnae laudis egentes." *Αἰν.* Ε', 751.

"*Ψυχὰς τάς τ' οὐκ ἔρος εἵλετο δόξης.*"

Μετάφρασις Εὐγενίου Βουλγάρεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Εἰς Ὠδὴν ΙΘ΄.

1. *Τοῦτ' ἔστι, κατὰ τὴν τελευταίαν ὥραν τῆς σελήνης ἤτοι τῆς νυκτός, τὴν πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου, οὖσαν, ὡς γνωστόν, τὴν ψυχροτέραν τῶν εἰκοσιτεσσάρων ὡρῶν.*

3. *Δηλαδή, ὑπὸ τῆς ψυχρότητος τῆς γῆς, ἢ καὶ τῆς ἐνεργείας τοῦ Κρόνου τοῦ νομιζομένου παρὰ τοῖς ἀρχαίοις ἀστρονόμοις ὡς μάλιστα ψυχροῦ ἕνεκα τῆς μακρᾶς ἀπὸ τοῦ ἡλίου ἀποστάσεως.*

4. *Γεωμαντεία ἦν εἶδος μαντοσύνης ἐνεργούμενον τῇ τυφλοῖς ὄμμασι διὰ ῥάβδου τύψει ἐπὶ ἀμμώδους ἐδάφους· αἱ δὲ προγνώσεις εἰκάζοντο ἐκ τῶν γινομένων ἐπὶ τῆς ἄμμου σχημάτων, ὧν τὸ εὐτυχέστερον ἦν ὁ λεγόμενος μείζων ἢ αἰσιώτερος οἰωνός, ὁμοιάζων τῇ συμβολῇ ἀστέρων τινῶν ἐν ἑνὶ τῶν οὕτω καλουμένων οἴκων τῆς σελήνης ἀνατελλούσης μεταξὺ Ὑδροχόου καὶ Αἰγόκερω τέσσαρας ὥρας πρὸ τοῦ ἡλίου, ὄντος τότε ἐν τῷ Κριῷ· Διὸ ὁ ὑποδεικνύμενος παρὰ τῷ Ποιητῇ χρόνος συμπίπτει, κατά τινας ἑρμηνευτάς, περὶ τὴν δευτέραν ὥραν μετὰ τὸ μεσονύκτιον.*

64. *Ὁ ἀφιέμενος ἱέραξ εἴωθε πρὸ τοῦ ἵπτασθαι ὁρᾷν τοὺς ἑαυτοῦ πόδας, εἴ εἰσιν ἀδέσμευτοι.*

73. "*Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου.*" *Ψαλμ. ριη΄*, 25.

85. *Δηλαδή, ἵν' αἰτήσωμαι ὅπως ἐπιτρέψῃ μοι λαλῆσαι τῇ ψυχῇ ἐκείνῃ.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

99. Ὁ διαλεγόμενός ἐστιν Ὀκτώβονος (Ottobuono) ἐκ τῆς πατριᾶς τῶν Φιέσκων (Fieschi), Κομήτων Ἐντέλλης (Lavagno), ποταμοῦ ἐν τῇ χώρᾳ Γενεατῶν μεταξὺ Κλαυάρου (Chiaveri) καὶ Σιέστρου. Ἦν δὲ Πάπας ὑπὸ τὸ ὄνομα Ἁδριανὸς ὁ Ε' τῷ 1276, ἀπὸ ια' Ἰουλίου ἄχρι ιστ' Αὐγούστου, ὅτε καὶ ἀπεβίωσεν.

128. Ἀκοῇ μόνῃ, διότι οὐκ ἠδύνατο ὁρᾷν με, ὡς κείμενος πρηνής.

134. Ἀποκαλ. ΙΘ', 10.

137. Ματθαῖος, ΚΒ', 30, καὶ Μάρκος, ΙΒ', 25. Ἐν τῇ ἀναστάσει οὐχ ὑπάρξουσι γήϊνοι σχέσεις.

142. Ἀλαγία, ἐκ τῆς πατριᾶς Φιέσκων, ἣν ἀνεψιὰ τοῦ Πάπα Ἁδριανοῦ τοῦ Ε' καὶ σύζυγος Μοροέλλου Μαλασπίνου, φίλου τοῦ Δάντου. Καθαρτ. Η', 118.

Εἰς Ὠδὴν Κ'.

2. Χαριζόμενος Ἁδριανῷ τῷ Ε', οὐ βουλομένῳ μένειν πλέον.

2. Καίπερ ἀέκων, δηλαδή, καίτοι ἐπιθυμῶν μαθεῖν πλείω παρ' αὐτοῦ.

8. Δηλαδή, ἐπὶ φιλαργυρίᾳ.

10. Ὡς ἐν Ἅδ. Α', 49 καὶ 94-112.

24. Λουκᾶς, Β', 7.

25. Γάϊος Φαβρίκιος, ὁ ἀδιάφθορος νικητὴς τοῦ Πύῤῥου.

32. Κατὰ τοὺς Συναξαριστάς, ὁ Ἅγιος Νικόλαος

ἐπροίκισε τρεῖς νεάνιδας, ὧν ἡ ἀρετὴ ὑπέκειτο πειρασμοῖς ἕνεκα τῆς πενίας τοῦ πατρός.

43. Οὔγων Καπέτος, ὁ θεμελιωτὴς τῆν Γαλλικῆς Μοναρχίας καὶ πρόγονος Φιλίππου τοῦ Καλοῦ, ὃν ἀποκαλεῖ κακὸν δένδρον.

47. Ἡ Φλανδρία ἡλώθη ὑπὸ Φιλίππου τῷ 1299· ἀλλ' οἱ Γάλλοι ἐξηλάθησαν μετὰ τὴν ἐνταῦθα προλεγομένην μάχην τοῦ Κορτράκου (Courtrac), κατὰ τὸ 1302.

52 Ἐπὶ Δάντου ἐνομίζετο ὅτι ὁ πατὴρ τοῦ Οὔγωνος Καπέτου ἦν πλούσιος δημότης τῶν Παρισίων, ἀνήκων εἰς τὴν συμμορίαν τῶν κρεωπωλῶν, καὶ ἔγημε τὴν ἐπίκληρον τοῦ Δουκὸς Αὐρηλίας.

54. Πιθανῶς συγχέονται ἐνταῦθα αἱ καταλύσεις τῶν δυναστειῶν τῶν Μεροβειδῶν καὶ Καρολιδῶν· ὁ δὲ ὑπὸ φαιὰν ἐσθῆτά ἐστι Χιλδερίκος ὁ Γ', ὁ ἔσχατος τῶν Μεροβειδῶν, ὃς ἀπέστη τῆς ἀρχῆς καὶ ἐγένετο μοναχὸς τῷ 752.

60. Τὸ ἱερὸν γένος, ἐν τῷ πρωτοτύπῳ sacrate ossa. Ὁ Ποιητὴς ἐχρήσατο ἐπὶ ὕβρει τῷ ἐπιθέτῳ τούτῳ, εἰρωνικῶς καὶ κατὰ δημώδη παρ' Εὐρωπαίοις εὐφημισμόν, ἐννοῶν "τὸ κατάρατον γένος." Τοιαύτη χρῆσις τοῦ ἐπιθέτου ἱερὸς γίνεται καὶ παρὰ Λατίνοις, ὡς παρὰ Βιργιλίῳ sacra fames (ὅρα Σημ. στίχ. 41, Ὠδ. ΚΒ')· λέγεται καὶ παρ' Ἕλλησιν ἱερὰ νόσος ἀντὶ τοῦ ἀποτρόπαιος.

61. Αἱ χῶραι Ῥαϋμούνδου Βεραγγέρου (Raymond Béranger), Κόμητος Προβιγκίας μετέβησαν εἰς τὸν βασιλικὸν οἶκον τῆς Γαλλίας διὰ τοῦ συνοικεσίου τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

θυγατρὸς καὶ κληρονόμου αὐτοῦ Βεάτρικος μετὰ τοῦ Καρόλου Ἀνδεγαυέων τῷ 1245.

65. *Εἰς συγγνώμην, δηλαδή, ἵνα τύχῃ συγγνώμης δι' ἓν πταῖσμα, ἔπραττε νέον ἄλλο.*

66. *Ἡ Νορμαννία παρεχωρήθη τῷ ἁγίῳ Λουδοβίκῳ ὑπὸ Ἑρρίκου Γ' Ἀγγλίας τῷ* 1260.—*Ἡ Βασκονία ἡλώθη διὰ τεχνάσματος ὑπὸ Φιλίππου τοῦ Καλοῦ τῷ* 1294.—*Ἡ μνεία τοῦ Ποντίκου* (Ponthieu *παρὰ τῷ Ποιητῇ* Ponti) *δύναται καλῶς σαφηνισθῆναι· ἀλλ' ἴσως ἄκαιρον τὸ ἀπαιτεῖν, ὅπως συναρμόσῃ τις τοῖς ἱστορικοῖς γεγονόσι τοὺς ἐνταῦθα ὀνειδισμοὺς τοῦ Δάντου.*

67. *Κάρολος Ἀνδεγαυέων, ὃς ἐσφετερίσατο τὴν ἐπὶ τοῦ στέμματος Νεαπόλεως καὶ Σικελίας βασιλικὴν ἀρχήν, κατὰ ὑποχώρησιν τοῦ Πάπα, διὰ τῆς σκληρᾶς θανατώσεως τοῦ Κορράδίνου, ἐγγόνου καὶ τελευταίου κληρονόμου Φρεδερίκου τοῦ Β', τῷ* 1268.—*Ἐλέγετο ὅτι ἀνεῖλε φαρμάκῳ τὸν Θωμᾶν ἐξ Ἀκουΐνου, ἀποθανόντα κατὰ τὴν ἀπὸ Νεαπόλεως εἰς τὴν ἐν Λουγδούνῳ Σύνοδον ὁδοιπορίαν αὐτοῦ, τῷ* 1274.

72. *Κάρολος Οὐαλεσιέων, ὃς προσεκλήθη εἰς Ἰταλίαν ὑπὸ Βονιφακίου τοῦ Η', τῷ* 1301, *καὶ διὰ προδοσίας κατέσχε τὴν Φλωρεντίαν καὶ ἐξήλασεν ἐκεῖθεν εἰς ἐξορίαν τοὺς Λευκούς. Ἐκαλεῖτο δὲ Λιπόγεως* (senza terra)· *τοῦθ' ὅπερ ὑπαινίττεται ὁ Ποιητὴς ἐν στίχῳ* 76.

79. *Ὁ ἄλλος οὗτος ἦν Κάρολος ὁ Β', ὁ Νεαπόλεως, υἱὸς Καρόλου Ἀνδεγαυέων, ὃς ἐξέπλευσεν ἐκ Γαλλίας πρὸς ἀνάκτησιν τῆς Σικελίας (μετὰ τὸν Σικελικὸν ἑσπε-*

ρινόν), καὶ ᾐχμαλωτίσθη ἐν συμπλοκῇ τινι μετὰ τῶν νεῶν Πέτρου τοῦ Ἀῤῥαγωνίας τῷ 1284. Ἔδωκεν εἰς γάμον τὴν θυγατέρα αὐτοῦ ἀνδρὶ γέροντι, ἐκ τῆς πατριᾶς τῶν Ἐστῶν, ἀντί μεγάλου ποσοῦ χρημάτων.

86. Ἡ ἐν Ἀναγνίᾳ (παρὰ τῷ Ποιητῇ Alagna) σύλληψις Βονιφακίου τοῦ Η' ὑπὸ Σκιάῤῥα Κολώνα (Sciarra Colonna) καὶ τοῦ πρέσβεως Γαλλίας Νογαρέτου, κατὰ διαταγὴν Φιλίππου τοῦ Καλοῦ τῷ 1303.

93. Ὑπαινίττεται ὁ Ποιητὴς τὸν διωγμὸν τῶν Ναϊτῶν (Templiers), καὶ τὴν δήμευσιν τῶν κτημάτων αὐτῶν τῷ 1307.

93. Τῆς Παρθένου Μαρίας. Ὅρα στίχ. 19.

103. Πυγμαλίων, βασιλεὺς Τύρου, ὃς ἐφόνευσε Σιχαῖον, τὸν ἄνδρα τῆς ἀδελφῆς αὐτοῦ Διδοῦς.

109. Ἄχαρ, ὁ νοσφισάμενος ἀπὸ τοῦ ἀναθέματος τῆς Ἱεριχοῦς. Ἰησοῦς Ναυῆ, Ζ'.

113. Ἡλιόδωρος, ὁ ἀποσταλεὶς ἵνα συλήσῃ τὸ γαζοφυλάκιον τοῦ ἐν Ἱερουσαλὴμ ναοῦ. Μακκαβ. Γ', 25.

115. Πολυμνήστωρ, βασιλεὺς Θρᾴκης, ὁ φονεύσας τὸν γυναικάδελφον Πολύδωρον, ἵνα σφετερισθῇ τοὺς ἐμπεπιστευμένους αὐτῷ θησαυροὺς τοῦ Πριάμου.

116. Μάρκος Κράσσος, οὗ φονευθέντος κατὰ τὴν πρὸς Πάρθους ἐκστρατείαν, χρυσὸν ἐνέτηξαν εἰς τὸ στόμα οἱ πολέμιοι ἐπισκώπτοντες, ὥς φησι Δίων ὁ Κάσσιος.

132. Οἱ δύο οὐράνιοι ὀφθαλμοί, ὁ Ἀπόλλων καὶ ἡ Ἄρτεμις, τοῦτ' ἔστιν ὁ ἥλιος καὶ ἡ σελήνη.

136. "Δόξα ἐν ὑψίστοις θεῷ." Λουκᾶς, Β', 14.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Εἰς Ὠδὴν ΚΑ'.

2. Ἰωάννης, Δ', 13–14.

7. Λουκᾶς, ΚΔ', 13–15.

17. Τἀληθὲς Ἀρχεῖον, ἐν τῷ πρωτοτύπῳ la verace corte, δηλαδὴ τὸ Δικαστήριον τῆς Ἀληθείας, τοῦ αἰωνίου Κριτοῦ. Ἀρχεῖον σημαίνει ἐνταῦθα Δικαστικὸν Συνέδριον. "Καὶ τὸ τὰς δίκας ὑπὸ τῶν Ἀρχείων δικάζεσθαι πάσας." Ἀριστοτ. Πολιτ. Β', ια'.

25. Ἡ Λάχεσις, μία τῶν Μοιρῶν, ἡ νήθουσα τὸ νῆμα τῆς ζωῆς ἐκ τῆς ἠλακάτης, ἣν κρατεῖ ἡ Κλωθώ.

36. Ὑγροὶ λέγονται οἱ πρόποδες τοῦ Καθαρτηρίου ὄρους, ὡς περικυκλουμένου πανταχόθεν ὑπὸ τῆς θαλάσσης.

45. Ἡ μόνη κίνησις γίνεται, ὅτε ψυχή τις ἀποκαθαρθεῖσά ἐστιν ἐν τῇ ἀκμῇ τοῦ καταλιπεῖν τὸ ὄρος, ἵνα γένηται δεκτὴ ἐν τῷ οὐρανῷ.

46. Καὶ Ὅμηρος:

> Οὔλυμπόν δ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
> Ἔμμεναι· οὔτ' ἀνέμοισι τινάσσεται οὔτε ποτ' ὄμβρῳ
> Δεύεται, οὔτε χιὼν ἐπιπίλνεται, ἀλλὰ μάλ' αἴθρη
> Πέπταται ἀννέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη.
>
> Ὀδυσ. Ζ, 42.

50. Ἡ Θαύμαντος θυγάτηρ, δηλαδὴ ἡ ἶρις.

85. Δηλαδή, τὸ ὄνομα ποιητοῦ.

91. Στάτιος, ποιητὴς Ῥωμαῖος, ἤκμασε περὶ τοὺς χρόνους τῆς ἁλώσεως Ἱερουσαλὴμ ὑπὸ Τίτου. Ἐγεννήθη ἐν

Νεαπόλει· ἀλλὰ συγχέεται ἐνταῦθα, κατὰ τὴν κοινῶς ἐπικρατοῦσαν ἐπὶ Δάντου κοινὴν γνώμην, μετά τινος ῥήτορος ὁμωνύμου ἐκ Τολώσης (Toulouse). *Ὁ Στάτιος συνέγραψε πλήρη τήν Θηβαΐδα· ἀλλ' ἀπέθανε γράψας μόνον δύο βιβλία τῆς αὐτοῦ Ἀχιλληΐδος.*

112. *Πράξ. Ἀποστ. Ε', 1 κφξ.*

Εἰς Ὠδὴν ΚΒ'.

5. "*Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.*" *Μάτθαῖος, Ε', 6.*

14. *Ὁ Ἰουβενάλις μνείαν ποιεῖται τοῦ Στατίου ἐν Σατ. Ζ, 82.*

35. *Ἀμετρίαν τήνδε, δηλαδὴ τὴν ἀσωτίαν, ᾗ ζῶν ἐχαριζόμην.*

41. *Αἰν. Γ', 57.*

. . . . "Quid non mortalia pectora cogis,
Auri sacra fames?"

. . . . "*Τίπτ' οὐ θνητῶν στήθε' ἀνώγεις,*
Ἱερὴ βουλιμία χρυσοῖο;"

Μετάφρασις Εὐγενίου Βουλγάρεως.

42. *Δηλαδή, ἐν τῷ ἐν Ἅδῃ κύκλῳ τῶν φιλαργύρων καὶ ἀσώτων. Ἅδ: Ζ', 22.*

46–51. *Ὅρα Ἅδ. Ζ', 37–48.*

56. *Δηλαδή, τοῦ πένθους τῶν δύο υἱῶν τῆς Ἰοκάστης, Ἐτεοκλέους καὶ Πολυνείκους.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

58. *Ὁ Στάτιος ἐπικαλεῖται τὴν Κλειὼ ἐν τῇ ἀρχῇ τῆς Θηβαΐδος.*

70. *Μνημονεύεται ἐνταῦθα τὸ ἑξῆς χωρίον τοῦ Βιργιλίου ὡς προφητεία τῆς ἐλεύσεως τοῦ Χριστοῦ:*

> "Magnus ab integro saeclorum nascitur ordo;
> Jam redit et Virgo, redeunt Saturnia regna;
> Jam nova progenies coelo demittitur alto."
>
> Ἐκλ. Δ', 5.

101. *Ὁ ἕλλην οὗτος ἦν ὁ Ὅμηρος.*

104. *Τὸ ὄρος, περὶ οὗ ὁ λόγος, ἐστὶν ὁ Παρνασός.*

107. *Ἀγάθων, ἔξοχος τραγικὸς ποιητὴς Ἀθηναῖος, σύγχρονος Σωκράτους καὶ Ἀλκιβιάδου, οὗ ποιεῖται λόγον ὁ Πλάτων ἐν τῷ Συμποσίῳ· ἐπαινεῖται δὲ καὶ ὑπὸ τοῦ Ἀριστοφάνους ἐν Θεσμοφοριαζούσαις, ἔνθα—29—καλεῖται Ἀγάθων ὁ κλεινός.*

109. *Ταῖς ἡρωΐναις ταῖς μνημονευομέναις ἐν τῇ Θηβαΐδι καὶ Ἀχιλληΐδι.*

112. *Ἡ ἡρωὶς αὕτη ἐστὶν ἡ Ὑψιπύλη, ἡ ὁδηγήσασα τὸν στρατὸν τῶν Ἀργείων, δίψῃ συνεχόμενον, εἰς τὴν πηγὴν Λάγκειαν. Θηβαΐδ. Δ', 716 κφξ.*

119. *Παρῆλθον ἤδη αἱ τέσσαρες ὧραι ἀπὸ τῆς ἀνατολῆς τοῦ ἡλίου καὶ προέβαινεν ἡ πέμπτη, ἤτοι ἡ ἑνδεκάτη μετὰ τὸ μεσονύκτιον.*

126. *Δηλαδή, τῆς ψυχῆς Στατίου.*

142. *Κατὰ τὸν ἐν Κανᾷ γάμον: "Οἶνον οὐκ ἔχουσιν" Ἰωάννης, Β', 3.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

146. *Αἱ ῥωμαῖαι γυναῖκες οὐκ ἔπινον οἶνον, κατὰ τὴν μαρτυρίαν Βαλερίου Μαξίμου Β'*, 1.

147. *Δανιήλ, Α'*, 12.

Εἰς Ὠδὴν ΚΓ'.

11. *Ψαλμ. Ν'*, 15.

26. *Ἐρυσίχθων, υἱὸς Τριόπα, βασιλέως Θεσσαλίας, ἐτιμωρήθη ὑπὸ τῆς Δήμητρος βουλιμίᾳ, ὡς κόψας αἴγειρον ἐν τῷ καθιερωμένῳ τῇ θεᾷ ἄλσει. Καλλίμ. εἰς Δήμ.* 32 *κφξ. Ὀβ. Μεταμ. Η'*, 738 *κφξ.*

30. *Μαρία, ἡ δυστυχὴς γυνὴ ἡ κτείνασα τὸν ὑπομάστιον παῖδα καὶ καταφαγοῦσα ὑπὸ λιμοῦ τὸ ἥμιου αὐτοῦ ἐπὶ τῆς πολιορκίας τῆς Ἱερουσαλήμ. Ἰωσήπ. Φλαβ. Ἰουδ. Πολ. ΣΤ', γ'*, 4.

33. *Τὰ Ο παρίστησι τοὺς δύο ὀφθαλμούς· τὸ δὲ Μ σχηματίζεται ὑπὸ τῆς ῥινὸς καὶ τῶν ὀφρύων παρατεινομένων ἐπὶ τὰς παρειάς· ἀναγινώσκεται δὲ καὶ προφέρεται ΟΜΟ, λατινιστὶ* homo (*ἄνθρωπος*).

48. *Φορέσης* (Forese), *Φλωρεντῖνος ἐκ τῆς πατριᾶς τῶν Δωνάτων, καὶ ἀδελφὸς Κόρσου Δωνάτου, φίλος δὲ ἐκ νεότητος καὶ συγγενὴς τοῦ Δάντου, λαβόντος ὡς γυναῖκα Γέμμαν τινὰ ἐκ τῆς πατριᾶς Δωνάτων.*

73. *Τοῦτ' ἔστιν ἡ θέλησις τοῦ ὑποστῆναι βασάνους. Ματθαῖος, ΚΗ'*, 46.

94. *Βαρβακίνη (παρὰ τῷ Ποιητῇ* Barbagia), *βάρβαρος χώρα ἐν Σαρδοῖ, φημιζομένη ἐπὶ τῷ ἀκόσμῳ ἱματισμῷ τῶν γυναικῶν.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

114. *Διὰ τοῦ σώματος τοῦ ἐπιπροσθοῦντος τὸ φῶς.*

154. *Ματθαῖος, ΙΑ'*, 11: "*Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ.*"

Εἰς Ὠδὴν ΚΔ'.

14. *Ἡ σκιὰ τοῦ Στατίου.*

15. *Παραδ. Γ'*, 49.

19. *Βοναϊούγκτας* (Buonagiunta) *ἐκ τῆς οἰκίας Ὀρβικιανῶν* (Orbicciani), *ποιητὴς Λουκαῖος.*

23. *Οὗτος ἦν Μαρτῖνος ὁ Δ' ἐκ Τυρώνων* (Tours). *Πάπας τῷ* 1281, *ἀπέθανε τῷ* 1285.

29. *Οὐβαλδῖνος ὁ Πιλανὸς* (Ubaldino dalla Pila), *ἀδελφὸς τοῦ Καρδινάλεως Οὐβαλδίνου. Ἀδ. Γ'*, 120.

30. *Οὗτος ἦν Βονιφάτιος ὁ Φιέσκων, Ἀρχιεπίσκοπος Ῥαυέννης*, 1274–1275.

31. *Ὁ Μαρκίων οὗτος ἦν ἐκ τῆς πατριᾶς Ῥιγολιόσων* (Rigogliosi), *εὐπατρίδης Φόρου Λιβίου. Τοῦ οἰνοφύλακος ὑπομνήσαντός ποτε, ὅτι λέγουσιν αὐτὸν ἀεὶ πίνοντα εἶναι, ἀπεκρίνατο· "εἰπὲ αὐτοῖς, ὅτι ἀεὶ διψῶν εἰμι."*

38. *Ἡ Γεντούκη αὕτη Λουκαία τις ἦν γυνή, ἧς ἔμελλεν ὁ Δάντης ἐρασθῆναι, ὢν ἐξόριστος καὶ διαβαίνων διὰ τῆς Λούκης.*

Ἔνθ' ἦν τὸ τραῦμα, δηλαδή, ὑπεψιθύριζε τὸ ὄνομα Γεντούκης μεταξὺ τῶν ὀδόντων, ἔνθα ᾐσθάνετο τὴν πεῖναν, δι' ἧς ἐβασανίζετο ὑπὸ τῆς θείας δικαιοσύνης.

44. *Ἀνάδημα οὔπω φέρουσα, δηλαδὴ ἄγαμος ἔτι· αι*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

γὰρ ὕπανδροι καὶ χῆραι γυναῖκες ἔφερον ἀνάδημα ἢ καλύπτραν, καίτοι διαφόρων καὶ ὡρισμένων χρωμάτων.

51. Οὗτός ἐστιν ὁ πρῶτος στίχος ᾄσματός τινος τοῦ Δάντου ἐν τῷ Νέῳ Βίῳ (Vita Nuova).

56. Ὁ Νοτάριος οὗτος ἦν Ἰάκωβος ὁ ἐκ Λεντίνου (Jacopo da Lentino), ἀρχαῖος ποιητὴς καὶ μνήμων τὸ ἐπάγγελμα.

Γιττώνης ἐξ Ἀῤῥητίου· λέγεται ὅτι ἐφεῦρε τὸ καλούμενον ἰταλικὸν σονέτον, 1294.

57. Τοῦ ὕφους τῶν νεωτέρων ποιητῶν.

82. Ὁ Ποιητὴς ἐννοεῖ τὸν Κόρσον Δωνάτον, ὃς ἔμεινεν ἀρχηγὸς τῶν Μελάνων Γουέλφων μετὰ τὴν ἐγκαθίδρυσιν αὐτῶν ὑπὸ Καρόλου Οὐαλεσιέων. Ἡ ἀνύψωσις αὐτοῦ διήγειρε τὴν ἀντιζηλίαν τοῦ λαοῦ, ὁρμήσαντος κατ' αὐτοῦ ἐν τυχαίᾳ τινὶ ταραχῇ. Ἐκπεσὼν δὲ τοῦ ἵππου ἐν τῇ φυγῇ ἐσύρθη ὑπὸ τοῦ ἀναβολέως, καὶ καταληφθεὶς ἐθανατώθη. Τοῦτο συνέβη τῷ 1308.

121. Τῶν Κενταύρων.

125. Κριταί, Ζ', 1 κφξ.

144. Δηλαδή, ὡς ἄνθρωπος, ὅστις οὐ βλέπων ἀκολουθεῖ τοῖς λόγοις τοῦ ὁδηγοῦντος αὐτόν.

Εἰς Ὠδὴν ΚΕ'.

3. Τοῦτ' ἔστιν, ἦν δευτέρα ὥρα μετὰ μεσημβρίαν, τοῦ ἡλίου ὄντος ἐν τῷ Κριῷ, τοῦ δὲ Ταύρου, ᾧ ἀντίκειται ὁ Σκορπίος, ἐπὶ τοῦ μεσημβρινοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

18. *Καὶ Πίνδαρος:*

Πολλὰ μὲν ἀρτιεπὴς
Γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων
Κελαδῆσαι. Ἴσθμ. Ε', 58–60.

23. *Ὀβ. Μεταμ. Η'*, 519.

37. *Τὰ ἑπόμενα συνᾴδει ταῖς δόξαις Θωμᾶ ἐξ Ἀκουΐνου, ἀκολουθοῦντος ταῖς τοῦ Ἀριστοτέλους.*

48. *Δηλαδή, ἀπὸ τῆς καρδίας.*

56. *Ὡς θαλάσσιος σπόγγος, δηλαδὴ ὡς ζωόφυτον.*

63. *Δηλαδή, τὸν Ἀβερρόην, ἄραβα ὑπομνηματιστὴν τοῦ Ἀριστοτέλους, δοξάζοντα ὅτι ἡ δύναμις τῆς νοήσεως, τὸ διανοητικόν, ἦν οὐσία κεχωρισμένη τῆς ψυχῆς.*

65. *Τὴν δυνατὴν νόησιν, παρὰ τῷ Ποιητῇ* possibile intelletto. *Οἱ ἀρχαῖοι φιλόσοφοι διέκρινον δύο νοήσεις, τὴν ἐνεργητικὴν νόησιν, δηλαδὴ τὴν αἰσθητικήν, τὴν δεχομένην τὰς ἐντυπώσεις τῶν αἰσθήσεων, τὴν σχηματίζουσαν ἐν τῷ νῷ ἰνδάλματα καὶ φαντασίας, καὶ τὴν δυνατὴν νόησιν, τὴν δυναμένην λογίζεσθαι, τὴν ἐξάγουσαν ἐκ τῶν ἰνδαλμάτων γνώμας καὶ συμπεράσματα, δηλαδὴ τὸ διανοητικόν. Τὸ ἐπίθετον δυνατὸν σημαίνει ἐνταῦθα, οὐχὶ τὸ ἐνδεχόμενον, ἀλλὰ τὸ ἔχον δύναμιν, καὶ ὡς ἂν εἴποι τις δυναμικόν. Ὅρα Ἀριστοτ. περὶ Ψυχῆς.*

86. *Δηλαδή, εἰς τὴν ὄχθην τοῦ Ἀχέροντος ἢ εἰς τὴν τοῦ Θύμβριδος, ὅθεν μεταβιβάζεται εἰς τὸ Καθαρτήριον.*

121. "Summae Deus Clementiae," *πρῶτος στίχος ὕμνου πρὸς ἁγνισμόν, ψαλλομένου παρὰ τοῖς Καθολικοῖς κατὰ τὸν ὄρθρον τοῦ σαββάτου.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

128. *Λουκᾶς, Α'*, 34.

132. *Δηλαδή, φωραθεῖσαν ἔγκυον.*

133. *Ὀβ. Μεταμ. Β'*, 465.

139. *Τὸ τελευταῖον τῶν ὑπὸ τοῦ Ἀγγέλου διαγραφέντων Π. Καθαρτ. Θ'*, 112.

Εἰς Ὠδὴν ΚΣΤ'.

71. *Τὸ θάμβος παύει ταχέως παρὰ τοῖς ἐχέφροσι διὰ τῆς γνώσεως τῶν πραγμάτων. "Μάλα γὰρ φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν· οὐ γὰρ ἄλλη ἀρχὴ φιλοσοφίας ἢ αὕτη." Πλάτ. Θεαιτ. ΙΑ'.*

77-78. *Πρὸς διασάφησιν τῆς ὑπομνήσεως ταύτης ὅρα Σουητώνιον, Ἰουλ. Καισ. κεφ. μθ'.*

92. *Γουΐδος Γουϊνικέλλης* (Guido Guinicelli), *ὁ ἀρχαῖος ποιητὴς Βονωνίας. Καθαρτ. Θ'*, 97.

94. *Λυκοῦργος, βασιλεὺς Νεμαίας, ὀργισθεὶς κατὰ Ὑψιπύλης ὡς καταλιπούσης τὸ ὑπὸ ὄφεως φονευθὲν αὐτοῦ βρέφος ἐν τῷ δεικνύειν τοῖς Ἀργείοις τὴν Λάγκειαν πηγὴν* (*Καθαρτ. ΚΒ'*, 112), *ἔμελλεν ἀποκτενεῖν αὐτήν, ὅτε ἀνευρέθη καὶ ἐσώθη ὑπὸ τῶν υἱῶν αὐτῆς. Στάτ. Θηβ. Ε'*, 721.

116. *Τὸ πνεῦμα τοῦτο ἦν ὁ Ἀρνάλδος Δανιήλ* (Arnaud Daniel), *εἷς τῶν περιφημοτέρων Προβιγκιάλεων ποιητῶν καὶ ῥαψῳδῶν* (Troubadours), *ἀκμάσας περὶ τὰ ἔτη* 1181–1200.

120. *Τὸν ῥαψῳδὸν Γεράλδον Βερνήλιον* (Gérault de Berneil).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

124. *Καθαρτ. ΚΔ'*, 56.

140. *Ἐν τῷ πρωτοτύπῳ τὰ ῥηθέντα ὑπὸ τοῦ Ἀρνάλδου γέγραπται ἐν Προβιγκιανῇ διαλέκτῳ καὶ μέτρῳ δεκασυλλάβῳ· διὸ ἐχρησάμην κἀγὼ μέτρῳ διαφόρῳ τοῦ ἰαμβοειδοῦς.*

Εἰς Ὠδὴν ΚΖ'.

5. *Ἦν ἕκτη ὥρα μετὰ μεσημβρίαν. Ὁ ἥλιος ἦν ἀνατέλλων ἐν Ἱερουσαλήμ. Ὁ Ζυγὸς ἦν ἐπὶ τῆς Ἱσπανίας· μεσημβρία δὲ ἦν ἐν Γάγγῃ, καὶ δύσις τοῦ ἡλίου ἐν τῷ Καθαρτηρίῳ· Καθαρτ. Δ'*, 139.

23. *Ἄδ. ΙΖ'.*

38. *Περὶ τῶν κατὰ Θίσβην καὶ Πύραμον ὅρα Ὀβιδ. Μεταμ. Δ'*, 75–166. *Κατὰ τὸν μῦθον τοῦτον, τὸ μόρον ἦν τὰ πρῶτα λευκόν, ἔλαβε δὲ χρῶμα ἐρυθρὸν ἐκ τοῦ αἵματος τοῦ Πυράμου.*

58. *Ματθαῖος, ΚΕ'*, 34.

93. *Οἱ πρὸ τῆς ἠοῦς ὄνειροι ἐνομίζοντο μᾶλλον προφητευτικοί.*

108. *Λεία καὶ Ῥαχήλ εἰσιν οἱ τύποι τοῦ ἐνεργητικοῦ καὶ θεωρητικοῦ βίου.*

141. *Τοῦτ' ἔστι, ποιῶ σε ἱερέα καὶ βασιλέα. Ὅρα Ἀποκαλ. Α'*, 6.

Εἰς Ὠδὴν ΚΗ'.

20. *Παρὰ τὸν Ἀδριατικὸν Κόλπον, πλησίον Ῥαυέννης.*

40. *Ἡ γυνὴ αὕτη, προϋποτυπωθεῖσα ἐν τῇ προηγου-*

μένῃ ᾠδῇ ὑπὸ τῆς Λείας καὶ τῆς Ῥαχήλ, ἐστὶ σύναμα τύπος τοῦ τε ἐνεργητικοῦ καὶ θεωρητικοῦ βίου. Καλεῖται δὲ ὕστερον (Καθαρτ. ΛΓ', 119) Ματίλδα, καὶ ἐκπροσωπεῖ τὴν ὁμώνυμον καὶ περίφημον Κόμισσαν Τουσκανίας, ἥτις ἀπέθανε τῷ 1115· κατέλιπε δὲ τὰ ὑπάρχοντα αὐτῆς τῇ ἐκκλησίᾳ τῆς Ῥώμης.

50. Ὅτε ἀπήχθη ὑπὸ τοῦ Πλούτωνος ἐκ τοῦ ἐν Ἔννῃ ἀνθηροῦ ἄλσους.

80. "Ὅτι εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι." Ψαλμ. ϟΑ', 4. Διὰ τῆς παραθέσεως τοῦ ψαλμοῦ τούτου ἡ γυνὴ φαίνεται λέγουσα· μὴ θαυμάζετε, εἰ μειδιῶ, διότι ἀγάλλομαι ἐν τοῖς ἔργοις τοῦ Θεοῦ.

87. Καθαρτ. ΚΑ', 52, ἔνθα ὁ Στάτιος λέγει, ὅτι οὔτε ἄνεμος οὔτε ἀτμὸς ἀνέρχεται πέραν τῆς πύλης τοῦ Καθαρτηρίου.

Εἰς Ὠδὴν ΚΘ'.

3. Ψαλμ. ΛΑ', 1.

50. Ἀποκαλ. Α', 12.

60. Αἱ νεόνυμφοι ἀγόμεναι πρὸς τὸν νυμφίον βραδυποροῦσι.

78. Ζωστὴρ τῆς Δηλίας, ἡ τῆς σελήνης ἅλως.

83. Ἀποκαλ. Δ', 4.

85. Λουκᾶς, Α', 28.

100. Ἐζεκιήλ, Α', 4. "Καὶ ἴδον, καὶ ἰδοὺ πνεῦμα

ἐξαῖρον ἤρχετο ἀπὸ Βορρᾶ, καὶ νεφέλη μεγάλη ἐν αὐτῷ, καὶ φέγγος κύκλῳ αὐτοῦ καὶ πῦρ ἐξαστράπτον."

105. Ἀποκαλ. Δ', 8, ἔνθα τὰ ζῶα τὰ θεαθέντα ὑπὸ τοῦ Ἁγίου Ἰωάννου εἶχεν ἕκαστον ἀνὰ ἓξ πτέρυγας, ἐν ᾧ τὰ ὑπὸ τοῦ Ἐζεκιὴλ ἀνὰ τέσσαρας.

118. Ἡνιοχοῦντος τοῦ Φαέθοντος.

121. Αἱ τρεῖς θεολογικαὶ ἀρεταί—Πίστις, Ἐλπὶς καὶ Ἀγάπη.

130. Αἱ τέσσαρες ἠθικαὶ ἀρεταί—Σύνεσις, Δικαιοσύνη Καρτερία καὶ Ἐγκράτεια. Ἡγέτις δέ ἐστιν ἡ Σύνεσις, ἔχουσα τρία ὄμματα, ὡς ὁρῶσα τὸ παρελθόν, τὸ παρὸν καὶ τὸ μέλλον.

154. Οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν ἀποφαίνονται, ὅτι ἐν τῇ ἀλληγορικῇ πομπῇ τῇ περιγραφομένῃ ἐν τῇ ᾠδῇ ταύτῃ αἱ προηγούμεναι τῆς ὁδοῦ ἑπτὰ λυχνίαι, οἷαι αἱ μνημονευόμεναι ἐν Ἐξόδῳ (ΚΕ', 31) καὶ ἐν Ἀποκαλύψει (Α', 12), παριστᾶσι τὰ ἑπτὰ μυστήρια τῆς Ἐκκλησίας, ἢ τὰ ἑπτὰ χαρίσματα τοῦ Ἁγίου Πνεύματος. Οἱ δὲ εἰκοσιτέσσαρες πρεσβύται τὰς βίβλους τῆς Παλαιᾶς Διαθήκης, οὔσας τοσαύτας κατὰ τὴν διάταξιν τοῦ ἱεροῦ Ἱερωνύμου, δηλαδή· α' Γένεσις. β' Ἔξοδος. γ' Λευϊτικόν. δ' Ἀριθμοί. ε' Δευτερονόμιον. στ' Ἰησοῦς τοῦ Ναυῆ. ζ' Κριταί. η' Βασιλειῶν Α' καὶ Δ' ἢ Σαμουήλ· θ' Βασιλειῶν Γ' καὶ Δ'. ι' Ἠσαΐας. ια' Ἱερεμίας. ιβ' Ἐζεκιήλ. ιγ' οἱ μικρότεροι (minores) Προφῆται. ιδ' Ἰώβ. ιε' Ῥούθ. ιστ' Ψαλμοί. ιζ' Παροιμίαι. ιη' Ἐκκλησιαστής. ιθ' Ἆσμα Σολομῶντος. κ' Δανιήλ. κα'

Παραλειπόμενα. κβ' Ἔσδρας. κγ' Ἐσθήρ. κδ' Θρῆνοι. Τὰ δὲ τέσσαρα ζῷά ἐστι τὰ τέσσαρα Εὐαγγέλια, τὰ συμπληροῦντα τὴν διαδοχὴν τῶν ἱερῶν βίβλων ἄχρι τῆς ἐγκαταστάσεως τῆς Ἐκκλησίας τοῦ Χριστοῦ. Ὁ δὲ γρύψ, ὁ τὸ ἥμιου ἀετὸς καὶ τὸ ἥμιου λέων, παρίστησι τὸν Χριστὸν ἐν τῇ διπλῇ φύσει, τῇ θείᾳ καὶ τῇ ἀνθρωπίνῃ. Τὸ δὲ ἅρμα τὴν ὁρατὴν Ἐκκλησίαν ὑποστηριζομένην ὑπὸ τῶν θεολογικῶν καὶ ἠθικῶν ἀρετῶν. Ἡ βίβλος τῶν Πράξεων τῶν Ἀποστόλων παρίσταται ὑπὸ τοῦ συγγραφέως Λουκᾶ τοῦ ἰατροῦ. Αἱ δὲ ἐπιστολαὶ τοῦ Ἁγίου Παύλου ὑπὸ τοῦ γράψαντος αὐτάς, ὃς φέρει τὴν ῥομφαίαν ὡς σύμβολον τοῦ μαρτυρίου, ἅμα δὲ καὶ τῆς ἐυσταθοῦς αὐτοῦ ἐνεργείας. Αἱ μικρότεραι ἐπιστολαὶ τοῦ Πέτρου, Ἰωάννου, Ἰούδα καὶ Ἰακώβου ἔπονται, καὶ ἡ πομπὴ περατοῦται ὑπὸ τοῦ Ἁγίου Ἰωάννου, ὡς γράψαντος τὴν βίβλον τῆς Ἀποκαλύψεως, κλείουσαν τὸν Κανόνα τῆς Ἱερᾶς Γραφῆς.

Εἰς Ὠδὴν Λ'.

1. Τὰ ἑπτὰ φῶτα τῶν Λυχνιῶν καλεῖται ὑπὸ τοῦ Ποιητοῦ ἑπταφαὴς Ἄρκτος τοῦ οὐρανοῦ τοῦ ἐπιγείου Παραδείσου καθ' ὁμοίωσιν τῶν ἑπτὰ ἀστέρων, οὕτως ὀνομαζομένων (Septentrio), τῆς μεγάλης ἄρκτου ἐν τῷ βορείῳ ἡμισφαιρίῳ.

10. Οὗτος ἦν Σολομών, οὗ τὸ ᾆσμά ἐστι μία τῶν εἰκοσιτεσσάρων βίβλων τῆς Παλαιᾶς Διαθήκης κατὰ τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἱερωνύμειον διάταξιν. "Δεῦρο ἀπὸ Λιβάνου νύμφη." Ἆσμ. Δ', 8.

19. *"Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου." Ματθαῖος, ΚΑ', 9.*

21. "Manibus date lilia plenis." *Αἰν. ΣΤ', 884. Τὸ χωρίον τοῦτο τῆς Αἰνειάδος ἀναφέρεται παρὰ τῷ Δάντῃ λατινιστί, τῇ προσθέσει τοῦ ἐπιφωνήματος ο (ὦ) μετὰ τὴν λέξιν* manibus *πρὸς συμπλήρωσιν τοῦ ἑνδεκασυλλάβου ἰταλικοῦ μέτρου. Μετεφράσθη δὲ ὑπὸ Εὐγενίου τοῦ Βουλγάρεως οὕτω: "Δότε χερσὶ λείρια ἄδδην."*

48. *Ἀπομίμησις τῶν λόγων τοῦ Βιργιλίου:*

. . . . "Agnosco veteris vestigia flammae."

Αἰν. Δ'. 23.

"*Τῆς δὲ πάρος φλογὸς αἴσθομαι ἴχνη.*"

Μετάφρασις Εὐγενίου Βουλγάρεως.

54. *Τοῦτ' ἔστιν, ἡ εὐφροσύνη τοῦ ἐπιγείου Παραδείσου οὐκ ἐκώλυσε τὴν ἐμὴν λύπην ἐπὶ τῇ ἀπελεύσει τοῦ Βιργιλίου.*

57. *Τῇ αὐτῇ μεταφορᾷ χρῆται ὁ Ποιητής, Ὠδ. ΛΒ', 2.*

67. *Ἀθηνᾶς φύλλοις, δηλαδὴ κλάδοις ἐλαίας.*

83. *Ἦσαν τὸν Λ' ψαλμὸν ἀπὸ τῆς ἀρχῆς "Ἐπὶ σοὶ, Κύριε, ἤλπισα" μέχρι τῶν λέξεων "τοὺς πόδας μου," τέλους τοῦ η' ἐδαφίου.*

85. *Ἐν τοῖς δρυμῶσι τῶν Ἀπεννίνων.*

89. *Χωρῶν Ἀσκίων, τῶν χωρῶν οὕτω καλουμένων*

ὑπὸ τῶν ἀρχαίων ἀστρονόμων, ὡς μὴ ποιούντων σκιὰν τῶν κατοίκων αὐτῶν, ὄντος τοῦ ἡλίου κατὰ κάθετον. Ἐννοεῖ δὲ ὁ Ποιητὴς τὴν Ἀφρικήν, ὡς κειμένην κατὰ μέρος ὑπὸ τὸν Ἰσημερινόν.

115. Ἐν τῇ νεότητι αὐτοῦ, ἤ, κατά τινας τῶν ἑρμηνευτῶν, καθ' ὃν χρόνον ἐγένετο γνώριμος τῇ Βεάτρικι, ἣν περιγράφει ἐν τῷ συγγράμματι αὐτοῦ τῷ καλουμένῳ "Vita Nuova" (Νέος Βίος).

Εἰς Ὠδὴν ΛΑ'.

2. Συνέπεια τῆς μεταφορᾶς, ᾗ χρῆται ὁ Ποιητὴς Ὠδ. Λ', 17.

42. Δηλαδή, ἡ κοπὶς τοῦ ξίφους τῆς Θείας Δικαιοσύνης ἀπαμβλύνεται.

46. Κατάθες κλαυθμῶν τὸν φόρτον, δηλαδὴ παῦσαι κλαίων· ὅρα ἀνωτέρω στίχ. 19. Ὁ Ποιητὴς εἶπε "Pon giù il seme del piangere," Κατάθες κλαυθμῶν τὸν σπόρον, ὑπαινιττόμενος ἴσως τὸ τοῦ Δαυΐδ: "Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι." Ψαλμ. ρκέ', 17.

60. Ὁ τρόπος οὗτος τοῦ λέγειν ἐστὶ δηκτικός τις σαρκασμός· ὁ γὰρ πώγων ἐμφαίνει ἀνδρικὴν φρόνησιν, ἧς ἐδείχθη δῆθεν ἐλλιπὴς ὁ Δάντης.

72. Δηλαδή, ὑπὸ ἀνέμου βορείου τῆς Εὐρώπης, ἢ ὑπὸ ἀνέμου πνέοντος ἐξ Ἀφρικῆς, ἔνθ' ἦν βασιλεὺς ὁ Ἰάρβας, παρ' οὗ ἡ Διδὼ ἐωνήσατο τὴν γῆν, ἐφ' ἧς ἔκτισε τὴν Καρχηδόνα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

77. *Δηλαδή, τοὺς Ἀγγέλους.*

81. *Δηλαδή, πρὸς τὸν Γρύπα.*

92. *Τὴν Ματίλδαν.*

98. "*Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.*" *Ψαλμ. Ν', 7.*

106. *Καθαρτ. Α', 23.*

116. *Σμαράγδων, δηλαδὴ τῶν ὀφθαλμῶν τῆς Βεάτρικος.*

140–141. *Ὑπὸ σκιὰν κατωχριάσας Παρνασοῦ, δηλαδὴ γενόμενος ὠχρὸς ἐκ τῆς πολλῆς περὶ τὰς Μούσας σπουδῆς.*

Εἰς Ὠδὴν ΛΒ'.

2 *Ἡ Βεάτριξ ἀπέθανε τῷ* 1290.

9. *Ἀτενὴς ἄγαν, δηλαδὴ βλέπεις ὑπὲρ τὸ δέον ἀτενῶς.*

30. *Δηλαδή, τῆς ἁμάξης κινουμένης πρὸς τὴν δεξιὰν χεῖρα, ὁ δεξιὸς τροχὸς διέγραφεν ἐπὶ τῆς γῆς τροχιὰν μείονι τόξῳ τοῦ διαγραφομένου ὑπὸ τοῦ ἀριστεροῦ τροχοῦ.*

52–54. *Ὅτε ὁ ἥλιός ἐστιν ἐν τῷ Κριῷ, ὅς ἐστι τὸ ἐγγὺς ζῴδιον μετὰ τοὺς Ἰχθῦς· τοῦτ' ἔστι κατὰ τὸ ἔαρ.*

65. *Ἄργος ὁ πολυόμματος, ταχθεὶς ὑπὸ τῆς ζηλοτυπούσης Ἥρας ὡς φρουρὸς τῆς Ἰοῦς, ἣν ὁ Ζεὺς μετέβαλεν εἰς δάμαλιν, ὅπως ἀπαλλάξῃ αὐτὴν τῶν ἐπιβουλῶν τῆς Ἥρας, ἀπεκοιμήθη τεχνάσματι τοῦ Ἑρμοῦ διηγουμένου τὸν μῦθον τῆς νύμφης Σύριγγος, καὶ τότε ἐφονεύθη ὑπὸ τούτου, ἐλευθερώσαντος οὕτω τὴν Ἰὼ κατὰ κέλευσιν τοῦ Διός. Ὀβ. Μεταμ. Α', 689· ὅρα καὶ Αἰσχ. Προμ. καὶ Ἀπολλόδ.*

73. "*Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως*

ἀδελφιδός μου ἀναμέσον τῶν υἱῶν." Ἆσμ. Σολ. Β', 3. Λέξεις, ὧν μνημονεύει ἐνταῦθα ὁ Ποιητής, αἰνιττόμενος εἰς τὴν Μεταμόρφωσιν τοῦ Χριστοῦ.

78. Βαθυτέρους ὕπνους, δηλαδὴ τοὺς ὕπνους τοῦ θανάτου, ὡς ἐγένετο ἐπὶ Λαζάρου καὶ ἄλλων ἐγερθέντων μετὰ θάνατον ὑπὸ τοῦ Χριστοῦ.

89. Οἱ λοιποί εἰσιν οἱ ἐκπροσωποῦντες τὰς βίβλους τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης.

94. Ἐπὶ τοῦ ἐδάφους τοῦ κήπου τοῦ Ἐπιγείου Παραδείσου, ὁρισθέντος ὡς οἴκημα τοῦ ἀνθρώπου, ὃς οὐκ ἔστιν ἐπὶ τοῦ ἀληθοῦς αὐτοῦ οἰκήματος, ἐφ' ὅσον ἐστὶ κάτοικος τοῦ παρόντος κόσμου. Ὅρα στίχ. 100.

160. Κατὰ τοὺς ἑρμηνευτάς, τὸ ἐν τῷ κήπῳ τοῦ Παραδείσου ἄφυλλον δένδρον ἐστὶν ἐνταῦθα τύπος τις τοῦ ἀνθρωπίνου γένους, τοῦ τελοῦντος ὑπὸ τὴν ἐξουσίαν τοῦ Ῥωμαϊκοῦ Κράτους· ἀπομαραίνεται μὲν στερούμενον τῶν φύλλων ἐπὶ τῆς εἰδωλολατρείας, ἀλλ' ἀναζωοῦται τῇ ἐνεργείᾳ τῆς διὰ τοῦ αἵματος τοῦ Χριστοῦ ἀπολυτρώσεως, καὶ τῆς ὑποταγῆς τούτου, ἐν τῇ ἀνθρωπίνῃ αὐτοῦ φύσει, τῇ κοσμικῇ ἐξουσίᾳ τοῦ Ῥωμαϊκοῦ Κράτους, ὅπερ δύναται ὑποληφθῆναι ἐκ τοῦ πρὸς τῷ δένδρῳ δεσμοῦ μέρους τινὸς τῆς ἁμάξης.—Ὁ Χριστὸς ἀνέρχεται διὰ τῆς Ἀναλήψεως· ἡ δὲ Ἐκκλησία (ἅμαξα) ἀφίεται τῇ μελήσει τῆς θεολογίας, ἣν ἐκπροσωπεῖ ἡ Βεάτριξ.—Ἡ προσβολὴ τοῦ ἀετοῦ, σημαίας τοῦ Ῥωμαϊκοῦ Κράτους, ἐμφαίνει τοὺς διωγμοὺς ἐπὶ τῶν πρώτων Αὐτοκρατόρων.—Ἡ ἀλώπηξ παρίστησι τὸν Ἄρειον ἢ συλλήβδην πάντας τοὺς αἱρετικούς.—Ἡ ἐπὶ

τῆς ἁμάξης πτεροῤῥύησίς ἐστιν ἡ κατὰ τοὺς Καθολικοὺς προικοδότησις τῆς Ἐκκλησίας ὑπὸ τοῦ Μεγάλου Κωνσταντίνου.—Ἡ ἀπόσπασις μέρους τῆς ἁμάξης ὑπὸ τοῦ Δράκοντος σημαίνει, κατά τινας τῶν λατινιζόντων, τὸν κατὰ τὴν ἐνάτην ἑκατονταετηρίδα ἀποχωρισμὸν τῆς Ἑλληνικῆς Ἐκκλησίας.—Ἡ περαιτέρω πτεροῤῥύησις δηλοῖ τὴν αὔξουσαν προικοδότησιν τῆς Λατινικῆς Ἐκκλησίας, καὶ ἰδίᾳ τὴν παρὰ τῆς Κομίσσης Ματίλδης.—Αἱ ἑπτὰ κεφαλαὶ καὶ τὰ δέκα κέρατά εἰσι τὰ τοῦ θηρίου, τοῦ μνημονευομένου ἐν τῷ ΙΖ' κεφαλαίῳ τῶν Ἀποκαλύψεων· ὑποτίθενται δὲ εἰκονίζειν τὰς τελευταίας διαφθορὰς τῆς Ἐκκλησίας.—Ἡ πόρνη ἐστὶ Βονιφάκιος ὁ Η', γίγας δὲ Φίλιππος ὁ Καλός, παρισταμένης οὕτω τῆς ἀνιέρου αὐτῶν συμμαχίας καὶ τῆς μετέπειτα ὕβρεως τοῦ Φιλίππου πρὸς τὸν Βονιφάκιον (Καθαρτ. Κ', 86).—Ἡ ἀποχώρησις τῆς ἁμάξης ὑποδείκνυσι τὴν μετάθεσιν τῆς Παπικῆς αὐλῆς ἀπὸ Ῥώμης εἰς Αὐενιῶνα (Avignon).

Εἰς Ὠδὴν ΛΓ'.

1. "*Ὁ Θεός, ἦλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου.*" *Ψαλμ. ΟΗ'*, 1.

12. *Ἰωάννης, ΙΣΤ'*, 16.

14. *Τὴν δέσποιναν, δηλαδὴ τὴν Ματίλδαν.*

15. *Τὸν Στάτιον.*

35. "*Καὶ τὸ θηρίον ὃ ἦν, καὶ οὐκ ἔστιν.*" *Ἀποκαλ. ΙΖ'*, 11.

36. *Κατά τινα ἐν Φλωρεντίᾳ ἐπικρατοῦσαν δεισιδαιμονίαν ὁ φονεὺς διέφευγε τὸν κίνδυνον ἐκδικήσεως, εἰ ἤσθιε ζωμὸν ἄρτου ἐν οἴνῳ ἐπὶ τοῦ τάφου τοῦ φονευθέντος.*

44. *Πεντακόσια δέκα καὶ πέντε, γραφόμενα ῥωμαϊκοῖς ἀριθμοῖς, καὶ μετατιθεμένου τοῦ* V *μεταξὺ τοῦ* D *καὶ* X, *διδοῦσι τὴν λέξιν* D V X (*Δούξ*). *Ἐκ τούτου προλέγεται ἡ ἔλευσις μεγάλου τινὸς καὶ κραταιοῦ ἀρχηγοῦ· ἔστι δὲ ἐπανάληψις τῆς ἐν Ἀδ. Α'*, 101 *προφητείας*.

41-51. *Λέγεται παρ' Ὀβιδίῳ* (*Μεταμ. Ζ' κφξ*) *τὰς Ναΐδας ἐξηγήσασθαι τοῖς Θηβαίοις τοὺς χρησμοὺς τῆς Θέμιδος, τὴν δὲ θεὰν ἀγανακτήσασαν πέμψαι τέρας καταστρέψαν τὰ σιτηρὰ καὶ τὰ ποίμνια τῶν Θηβαίων.*

56. *Τὸ δένδρον παρίστησι νῦν εἰδικώτερον τὸ Ῥωμαϊκὸν Κράτος, ὡς τὸ πολιτικόν κέντρον (κατὰ τὴν δόξαν τοῦ Δάντου) τοῦ ὅλου ἀνθρωπίνου γένους. Κατά τινας δὲ τῶν ἑρμηνευτῶν, ἡ πρὸς τῷ δένδρῳ δέσις τῆς ἁμάξης σημαίνει, ἐν τῇ προσόψει ταύτῃ τῆς ἀλληγορίας, τὴν προσάρτησιν τῇ Ῥώμῃ τῆς Ἀρχιερατείας· ἡ δὲ μετάθεσις τοῦ Πάπα εἰς Αὐενιῶνα καθίσταται βλάσφημος παράβασις τῆς ἐν Ῥώμῃ θεόθεν ὁρισθείσης ἑνώσεως τῶν κεχωρισμένων δύο κεφαλῶν, τῆς κοσμικῆς καὶ τῆς πνευματικῆς ἐξουσίας. Ἀδ. Β*, 20.

61. *Τὰ ὕδατα τῆς Ἕλσης, χεόμενα εἰς τὸν Ἄρνον κατ' ἴσην ἀπόστασιν τῆς τε Φλωρεντίας καὶ τῆς Πίσης, ἔχουσιν ἰδιότητα ἀπολιθωτικήν.*

78. *Ὑπαινίττεται ὁ Ποιητὴς τὴν συνήθειαν τῶν ἀπερχομένων εἰς προσκύνησιν τοῦ Ἁγίου Τάφου, οἵτινες*

ἐπιστρέφοντες οἴκαδε ἔφερον κλάδους φοινίκων ἢ βαΐων πρὸς ἐπίδειξιν τῆς εὐσεβοῦς ἀποδημίας.

145. *Ἡ διάβασις ταῦ Καθαρτηρίου διήρκεσε τρεῖς ἡμέρας καὶ ἡμίσειαν, ἀρξαμένη πρὸ τοῦ φωτὸς τῆς ἡμέρας. Τὴν νύκτα τῆς πρώτης ἡμέρας διῆλθον οἱ Ποιηταὶ εἰς τοὺς πρόποδας τοῦ Καθαρτηρίου ὄρους. Τὴν πρωΐαν τῆς ἐπιούσης εἰσῆλθον εἰς τὸ κυρίως Καθαρτήριον, μείναντες τὴν δευτέραν νύκτα ἐν τῷ τετάρτῳ κύκλῳ. Κατὰ τὴν τρίτην ἡμέραν διέβησαν τὸ ὑπόλοιπον τοῦ Καθαρτηρίου, διελθόντες τὴν νύκτα ἐν τῷ ἑβδόμῳ κύκλῳ. Τελευταία δὲ ἔνδειξις χρόνου ἐστὶν ἡ μεσημβρία τῆς τετάρτης ἡμέρας.*

ΤΕΛΟΣ ΤΩΝ ΣΗΜΕΙΩΣΕΩΝ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Διορθώσεις παροραμάτων τυπογραφικῶν καὶ ἄλλων τινῶν ἐν τῇ μεταφράσει τοῦ Ἅδου.

Ἐν ταῖς Ὠδαῖς.

Ὠδ.	Στίχ.	ἀντί.	γραπτέον.
Α',	39.	ὅτε τὸ θεῖον φίλτρον	ὁ θεῖος ὁπότ' ἔρως
	51.	Καὶ πολλούς παναθλίους ἔθρεψεν ἤδη.	Πολλούς τ' ἐποίησ' ἤδη ζῆν παναθλίους.
	69.	Μαντιανοὶ	Μαντυανοὶ
	87.	προσενεγκόν μοι	ἀπενεγκόν μοι
	94.	τοῖς ἄλλοις	τοὺς ἄλλους
Β',	48.	ἀφηνιάζει	ἀφηνιῶντα
	72.	φίλτρον	Ἔρως
	130.	ᾐσθάνθην	ᾐσθόμην
Γ',	4.	Πλάστου	Κτίστου
	7.	τὸ πρῶτον φίλτρον	καὶ πρῶτος ἔρως
Δ',	43.	ᾐσθάνθην	ᾐσθόμην
	90.	Ὀβίδιος	Ὀβίδιος
	131.	τῶν ἐδρευόντων	τῆς ἐπιστήμης
	132.	Ἐν τῇ τῶν φιλοσόφων οἰκογενείᾳ.	Ἐδρεύοντ' ἐν τῇ σοφῶν οἰκογενείᾳ.
Ε',	76.	Ὅτ' ἔσοντ'	Ὅταν ὦσ'
	116.	τὰ μαρτύριά σου	τὰ παθήματά σου
	129.	μοναχοί,	μόνοι καὶ

Ῥδ.	Στίχ.	ἀντί.	γραπτέον.
ΣΤ',	96.	Ὅτ' αὐτοῖς ἐπισκήψει τρομερὰ δίκη·	Καὐτοῖς τρομερὰ τότ' ἐπισκήψει δίκη·
Ζ',	95.	Μειδιῶσ' ἐφ' οἷς πρῶτον ὑπῆρξεν εὔνους,	Μετὰ τῶν ἄλλων πρώτων κτισμάτων εὔφρων,
Θ',	15.	Ἐννοῶν	Ἐννοοῦντ'
	33.	ἔστ'	ἔσθ'
	133.	τῶν τειχῶν καὶ μαρτύρων	τειχῶν καὶ μαρτυρίων.
Ι',	2.	τῶν μαρτύρων	μαρτυρίων
	51.	οἱ σαυτοῦ τὴν σὴν τέχνην."	οἱ σοὶ τὴν τέχνην κείνην."
	55.	ὡς ἂν εἰ θέλων	ὡς βουλομένη
	128.	σοφὸς	Σοφὸς
ΙΑ',	95.	φὴς	φῇς
	106.	τούτων	τούτων,
ΙΒ',	11.	Ἄκρον δ' ἐπὶ τῆς πέτρας	Ἐπ' ἄκρου δὲ τῆς πέτρας
	15.	Καθά τις	Καθάπερ τις
	41.	Ὥστε, καθὰ σκέπτομαι, τὸ πᾶν ᾐσθάνθη	Ὥστ' ἐνόμιζον αἰσθάνεσθαι τὸ σύμπαν
	120.	σεπτοῦ	σεπτὴν
ΙΓ',	66.	Κοινὸς τῶν αὐλῶν θάνατος καὶ κακία!	Κοινὸς θάνατος, καὶ τῶν αὐλῶν κακότης!
ΙΕ',	9.	αἰσθανθῇ	αἴσθηται
	39.	Τοῦ πυρὸς ἀμύνασθαι οὐ δυναμένη.	Ἀμύνασθαι· τοῦ πυρὸς οὐ δυναμένη.
	64.	Ἐχθρὸς, ἐπ' ἀγαθῷ σου,	Ἐχθρός, ὡς ἀγαθουργῷ,
	122.	Βηρῶνι	Βηρώνῃ
ΙΣΤ',	39.	καὶ νῷ	φρεσὶ
ΙΖ',	16.	ἀράχνη	Ἀράχνη
	109.	ᾐσθάνθη	ὑπέστη
	112.	ᾐσθάνθην	ᾐσθόμην
ΙΗ',	132.	ὀοθῶς	ὀρθῶς
	136.	"Ἀλλὰ . . . εἶδεν."	Ἀλλὰ . . . εἶδεν.
ΙΘ',	54.	κατὰ πόλλ' ἔτη	κατά τιν' ἔτη
Κ',	48.	ἐν τῇ κάτω κοιλάδι	οἰκεῖ τὴν κάτω χώραν
	49.	Ῥέει, σπήλαιον	Γεωργῶν, ἄντρον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ῥδ.	Στίχ.	ἀντί.	γραπτέον.
Κ',	64.	Πλείους χιλίων πηγαὶ τὸν Ἀπεννῖνον	ΤΑ'πέννινον πλείονες πηγαὶ χιλίων
ΚΑ',	135.	ἀλφαστοβράστοῦς	ἀσφαλτοβράστους
ΚΔ',	48.	χλανῖσί τε	χλανίσι τε
	128.	Πυνθάνου δέ,	Πυνθάνου,
	133.	λυποῦμαι	λυποῦμ'
ΚΕ',	13.	ᾐσθάνθη	ᾔσθετο
	120.	Ἐπὶ τοῦδ,	Ἐπὶ τοῦδ',
ΚΖ',	7.	Ὡς ὁ Σικελικὸς βοῦς,	Ὡς βοῦς ὁ Σικελικός,
	89.	Μηδενὸς φροντίζοντος ἐκπορθεῖν Ἄκην,	Ὧν οὐδεὶς ἔδραμ' ἀμυνούμενος Ἄκην,
	90.	Μήτ' ἐμπορεύεσθ'	Ἀλλ' οὔτ' ἔμπορος
	122.	ᾐσθάνθην	ᾐσθόμην
ΚΗ',	21.	ἐννάτου	ἐνάτου
	75.	Βαρκελλῶν	Βερκελλῶν
	135.	Ῥηγὶ δόντ' Ἰωάννῃ.	δόντα Βασιλεῖ Νέῳ.
ΚΘ',	99.	Μετὰ τῶν ἄλλων τὰ ῥηθέντ' ἀκουσάντων.	Μετ' ἄλλων ἀκουσάντων ταῦτ' ἀντιτύπως.
Λ',	24.	Ὥστε νύττειν οὐ θήρας, ἀλλ' οὔτ' ἀνθρώπους,	Ὡς μηδὲ θῆρας νύττειν, μή τί γ' ἀνθρώπους,
	28.	Καπόκκιον	Καπόκιον
	137.	Ἐν ὀνείρῳ τότ' ὢν	Ἐν ὀνείρῳ τ' ὢν
ΛΑ',	80.	Ἀλύσει	Ἀλύσει
	111.	ἀλύσεσιν	ἀλύσεσιν
	131.	Ὧν Ἡρακλῆς τὸν δεινὸν δραγμὸν ᾐσθάνθη.	Ὧν Ἡρακλῆς ᾔσθετο τὸ μέγα σθένος.
ΛΒ',	86.	ἶπον	Εἶπον
ΛΓ',	49.	Οὐ μὴν ἔκλαυσ',	Οὐκ ἔκλαιον,
	52.	Οὐκ ἐδάκρυσ'	Οὐ μὴν ἐδάκρυσ',
	101.	νενεκρωμένω	νενεκρωμένῳ
	135.	ἐξαπατᾷν με	ἐξαπατᾷν με,
ΛΔ',	37.	ᾐσθάνθην	ᾐσθόμην
	139.	Συνεξελθόντες εἴδομεν πάλιν τἆστρα.	Ἐξήλθομεν, ἵν' ἴδωμεν πάλιν τἆστρα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἐν ταῖς Σημειώσεσι.

Σελ. στίχ.	ἀντί.	γραπτέον.
283, 17.	ἀλυσίδετον	ἀλυσίδετον
284, 12.	133. Μέσον τῶν τειχῶν καὶ μαρτύρων κφξ (ἄχρι τέλους τῆς σημειώσεως).	133. Μέσον τειχῶν καὶ μαρτυρίων. Ἡ λέξις "μαρτύρια," παρὰ τῷ Ποιητῇ martiri, λατινιστὶ martyria, σημαίνει ἐνταῦθα οὐχὶ βασάνους, ὡς ὑπέλαβον πάντες σχεδὸν οἱ μεθερμηνευταὶ Ἰταλοί τε καὶ μή, ἀλλά, κατὰ ἐκκλησιαστικὴν φράσιν, τάφους, κοιμητήρια τῶν αἱρετικῶν, ἐν οἷς οὗτοι ἔθαπτον τοὺς παρ' αὐτοῖς ὀνομαστούς, καλοῦντες τὰ κοιμητήρια ταῦτα τῶν ὁμοδοξούντων μαρτύρια. Ὅρα Κανόνα Θ' τῆς ἐν Λαοδικείᾳ Συνόδου, καὶ σημειώσεις Ζωναρᾶ, Βαλσαμῶνος καὶ Ἀριστηνοῦ.
289, 4.	(Αἰν. II, 223).	(Αἰν. Β', 223).
7.	τῆς Ἀπεχθείας καὶ τοῦ Ἔρωτος	τῆς Ἀπεχθείας, Ἀπώσεως, καὶ τοῦ Ἔρωτος, Ἕλξεως,
296, 3.	Μομφρέδος	Μαμφρέδης
301, 12.	πόλλ'	τιν'
24.	1203	1303
26.	1214	1314
309, 6.	ἱεροσυλίας	ἱεροσυλίας,
313, 9.	δαταγὴν	διαταγὴν
314, 4.	πράσινον)	(πράσινον)
317, 18.	paganisme,	paganisme prévalut,
318, 6.	Βρεκελλῶν	Βερκελλῶν
327, 8.	Γουαλανδῶν	Γουαλάνδων
16.	Γενούας	Γενόας
21.	Φράτερι	Φρατρὶ

47

ΤΥΠΟΙΣ STEPHEN AUSTIN AND SONS, HERTFORD.

ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΟΥ ΚΑΛΙΤΣΟΥΝΑΚΗ